ταύτην τὴν τιμὴν τῆς μνήμης
δίδοσθαι αὐτοῖς.
Οἱ γὰρ αὐτοὶ
οἰκοῦντες ἀεὶ τὴν χώραν
παρέδοσαν ἐλευθέραν διὰ ἀρετὴν
μέχρι τοῦδε
διαδοχῇ
τῶν ἐπιγιγνομένων.
Καὶ ἐκεῖνοί τε ἄξιοι ἐπαίνου
καὶ ἔτι μᾶλλον
οἱ πατέρες ἡμῶν·
κτησάμενοι γὰρ
πρὸς οἷς ἐδέξαντο
ἀρχὴν
ὅσην ἔχομεν,
προσκατέλιπον οὐκ ἀπόνως
ἡμῖν τοῖς νῦν.
Ἡμεῖς δὲ αὐτοὶ
οἵδε,
οἱ ὄντες ἔτι νῦν
μάλιστα
ἐν τῇ ἡλικίᾳ καθεστηκυίᾳ
ἐπηυξήσαμεν
τὰ πλείω
αὐτῆς,
καὶ παρεσκευάσαμεν
τὴν πόλιν αὐταρκεστάτην
τοῖς πᾶσι
καὶ ἐς πόλεμον καὶ ἐς εἰρήνην.
Ὧν
ἐγὼ ἐάσω μὲν
τὰ ἔργα κατὰ πολέμους,

de celle de ces choses
qui *les* dépasse, [croire.
dès-lors aussi ils refusent-*d'y*-
Mais puisqu'il a été estimé ainsi
par ceux d'autrefois (nos ancêtres)
ces choses être bien,
il faut aussi moi suivant la loi
m'efforcer
de rencontrer (satisfaire)
le plus possible
et la volonté et l'opinion
de chacun de vous.

XXXVI. « Or je commencerai
par nos ancêtres d'abord :
car *il est* juste
et de plus convenable
en-même-temps
dans la *circonstance* telle
cet honneur du souvenir
être accordé à eux.
Car les mêmes
habitant toujours le pays
*l'*ont transmis libre par *leur* courage
jusqu'à ce *temps*-ci
à la succession
de ceux qui-naissaient-après *eux*.
Et ceux-là aussi *sont* dignes d'éloge
et encore plus
les pères de nous :
car ayant acquis
outre *ce* qu'ils avaient reçu
un empire
aussi grand que nous *l'*avons,
ils *l'*ont laissé non sans-peine
à nous ceux d'à-présent.
D'autre part nous-mêmes
ceux-ci (qui sommes ici)
ceux qui sont encore maintenant
à peu près
dans l'âge posé (viril)
nous avons accru
les *possessions* plus grandes
de cet *empire*,
et nous avons rendu
la ville très-capable-de-se-suffire
en toutes choses
et pour la guerre et pour la paix.
Desquels (de nos pères et de nous)
moi je laisserai-de-côté d'une part
les actions dans les guerres,

ἐκτήθη, ἢ εἴ τι αὐτοὶ ἢ οἱ πατέρες ἡμῶν βάρβαρον ἢ Ἕλληνα πολέμιον ἐπιόντα προθύμως ἠμυνάμεθα, μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος, ἐάσω· ἀπὸ δὲ οἵας τε ἐπιτηδεύσεως ἦλθον ἐπ' αὐτὰ καὶ μεθ' οἵας πολιτείας καὶ τρόπων ἐξ οἵων μεγάλα ἐγένετο, ταῦτα δηλώσας πρῶτον εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον, νομίζων ἐπί τε τῷ παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτὰ καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν καὶ ξένων ξύμφορον εἶναι αὐτῶν ἐπακοῦσαι.

XXXVII. « Χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν πέλας νόμους, παράδειγμα δὲ μᾶλλον αὐτοὶ ὄντες τινὶ ἢ μιμούμενοι ἑτέρους. Καὶ ὄνομα μὲν, διὰ τὸ μὴ ἐς ὀλίγους ἀλλ' ἐς πλείονας οἰκεῖν, δημοκρατίᾳ κέκληται, μέτεστι δὲ κατὰ μὲν τοὺς νόμους πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον, κατὰ δὲ τὴν ἀξίωσιν, ὡς ἕκαστος ἔν τῳ εὐδοκιμεῖ, οὐκ ἀπὸ μέρους τὸ πλεῖον

nous ou nos pères, nous avons repoussé les agressions des barbares ou des Grecs, je les passerai sous silence, ne voulant pas m'étendre sur un sujet qui vous est connu. Mais le régime qui nous a fait parvenir à ce degré de puissance, les institutions et les mœurs qui ont rendu notre ville si florissante, c'est là ce que j'exposerai d'abord, avant de passer à l'éloge de nos guerriers, persuadé qu'un tel examen n'est point ici hors de saison, et que la foule entière des citoyens et des étrangers est intéressée à l'entendre.

XXXVII. « La constitution qui nous régit n'a rien à envier aux autres peuples; elle leur sert de modèle et ne les imite point. Elle a reçu le nom de démocratie, parce que son but est l'utilité du plus grand nombre et non celle d'une minorité. Pour les affaires privées tous sont égaux devant la loi; mais la considération ne s'accorde qu'à ceux qui se distinguent par quelque talent. C'est le mérite personnel, bien plus que les distinctions sociales,

οἷς ἕκαστα
ἐκτήθη,
ἢ
εἰ αὐτοὶ
ἢ οἱ πατέρες ἡμῶν
ἠμυνάμεθα προθύμως
πόλεμον βάρβαρον
ἢ Ἕλληνα
ἐπιόντα,
οὐ βουλόμενος μακρηγορεῖν
ἐν εἰδόσιν·
ἀπὸ δὲ οἵας τε ἐπιτηδεύσεως
ἦλθον ἐπὶ αὐτὰ,
καὶ μετὰ οἵας πολιτείας
καὶ ἐξ οἵων τρόπων
ἐγένετο μεγάλα,
δηλώσας πρῶτον ταῦτα,
εἶμι καὶ
ἐπὶ τὸν ἔπαινον τῶνδε,
νομίζων αὐτά τε
οὐ λεχθῆναι ἂν ἀπρεπῆ
ἐπὶ τῷ παρόντι
καὶ εἶναι ξύμφορον
πάντα τὸν ὅμιλον
καὶ ἀστῶν καὶ ξένων
ἐπακοῦσαι αὐτῶν.

XXXVII. « Χρώμεθα γὰρ
πολιτείᾳ
οὐ ζηλούσῃ τοὺς νόμους
τῶν πέλας,
ὄντες δὲ αὐτοὶ
παράδειγμά τινι
μᾶλλον ἢ μιμούμενοι
ἑτέρους.
Καὶ ὄνομα μὲν,
διὰ τὸ μὴ οἰκεῖν
ἐς ὀλίγους,
ἀλλὰ ἐς πλείονας,
κέκληται δημοκρατία·
τὸ δὲ ἴσον
μέτεστι πᾶσι
κατὰ μὲν τοὺς νόμους
πρὸς τὰ διάφορα ἴδια,
κατὰ δὲ τὴν ἀξίωσιν,
ὡς ἕκαστος
εὐδοκιμεῖ
ἔν τῳ,
προτιμᾶται ἐς τὰ κοινὰ
οὐχ ἀπὸ μέρους
τὸ πλεῖον ἢ ἀπὸ ἀρετῆς,

par lesquelles chaque chose
a été acquise,
ou-bien (je ne dirai pas non plus)
si *nous*-mêmes
ou les pères de nous
nous avons repoussé vaillamment
une guerre étrangère
ou grecque
venant-contre *nous*, [ment
ne voulant pas *en* parler-longue-
devant *des gens* qui *le* savent;
mais et au-moyen de-quelle con-
ils sont arrivés à ces choses, [duite
et avec quel gouvernement
et par suite de quelles mœurs
elles sont devenues grandes,
ayant montré d'abord cela,
j'arriverai aussi
à l'éloge de ceux-ci,
croyant et cela [nance
ne pas devoir être dit sans-conve-
dans la *circonstance* présente
et être utile
toute la foule
et de citoyens et d'étrangers
entendre cela.

XXXVII. « Car nous usons
d'un gouvernement
qui n'imite pas les lois [sins),
de ceux près-de *nous* (de nos voi-
mais étant nous-mêmes
un modèle à quelque *autre*
plutôt qu'imitant
d'autres *peuples*.
Et de nom d'une part,
à cause du ne pas être-administré
en-vue-de *l'intérêt* de peu-nom-
mais des plus nombreux, [breux
il est appelé démocratie;
d'autre part l'égalité *de droits*
appartient à tous
selon les lois d'une part
pour les différends particuliers,
d'autre part quant à la considéra-
selon que chacun [tion,
a-une-bonne-réputation
en quelque chose, [blics
il est préféré pour les *emplois* pu-
non d'après la classe *dont il est*
plutôt que d'après *son* mérite,

ἐς τὰ κοινὰ ἢ ἀπ' ἀρετῆς προτιμᾶται, οὐδ' αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν, ἀξιώματος ἀφανείᾳ κεκώλυται. Ἐλευθέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν καὶ ἐς τὴν πρὸς ἀλλήλους τῶν καθ' ἡμέραν ἐπιτηδευμάτων ὑποψίαν, οὐ δι' ὀργῆς τὸν πέλας, εἰ καθ' ἡδονήν τι δρᾷ, ἔχοντες, οὐδὲ ἀζημίους μὲν, λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας προστιθέμενοι[1]. Ἀνεπαχθῶς δὲ τὰ ἴδια προσομιλοῦντες, τὰ δημόσια διὰ δέος μάλιστα οὐ παρανομοῦμεν, τῶν τε ἀεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει καὶ τῶν νόμων, καὶ μάλιστα αὐτῶν ὅσοι τε ἐπ' ὠφελίᾳ τῶν ἀδικουμένων κεῖνται καὶ ὅσοι ἄγραφοι ὄντες αἰσχύνην ὁμολογουμένην φέρουσι.

XXXVIII. « Καὶ μὴν καὶ τῶν πόνων πλείστας ἀναπαύλας τῇ γνώμῃ ἐπορισάμεθα, ἀγῶσι μέν γε καὶ θυσίαις διετησίοις νομίζοντες, ἰδίαις δὲ κατασκευαῖς εὐπρεπέσιν, ὧν καθ' ἡμέραν ἡ

qui fraye la voie des honneurs. Aucun citoyen capable de servir la patrie n'en est empêché par l'indigence ou par l'obscurité de sa condition. Libres dans notre vie publique, nous ne scrutons pas avec une curiosité soupçonneuse la conduite particulière de nos concitoyens; nous ne les blâmons pas de rechercher quelque plaisir; nous n'avons pas pour eux de ces regards improbateurs qui blessent, s'ils ne frappent pas. Malgré cette tolérance dans le commerce de la vie, nous savons respecter ce qui touche à l'ordre public; nous sommes pleins de soumission envers les autorités établies, ainsi qu'envers les lois, surtout envers celles qui ont pour objet la protection des faibles, et celles qui, pour n'être pas écrites, ne laissent pas d'attirer à ceux qui les transgressent un blâme universel.

XXXVIII. « Nous avons ménagé à l'esprit des délassements sans nombre, soit par des jeux et des sacrifices périodiques, soit, dans l'intérieur de nos maisons, par une élégance dont le charme

οὐδὲ αὖ
κατὰ πενίαν,
ἔχων δέ τι ἀγαθὸν
δρᾶσαι τὴν πόλιν,
κεκώλυται
ἀφανείᾳ ἀξιώματος.
Πολιτεύομεν δέ τε
ἐλευθέρως
τὰ
πρὸς τὸ κοινὸν
καὶ ἐς τὴν ὑποψίαν
πρὸς ἀλλήλους
τῶν ἐπιτηδευμάτων
κατὰ ἡμέραν,
οὐκ ἔχοντες διὰ ὀργῆς
τὸν πέλας,
εἰ δρᾷ τι
κατὰ ἡδονήν,
οὐδὲ προστιθέμενοι
ἀχθηδόνας
ἀζημίους μὲν,
λυπηρὰς δὲ τῇ ὄψει.
Προσομιλοῦντες δὲ
ἀνεπαχθῶς
τὰ ἴδια,
τὰ δημόσια
οὐ παρανομοῦμεν,
μάλιστα διὰ δέος,
ἀκροάσει τε
τῶν ὄντων ἀεὶ
ἐν ἀρχῇ
καὶ τῶν νόμων,
καὶ μάλιστα αὐτῶν
ὅσοι τε κεῖνται ἐπὶ ὠφελίᾳ
τῶν ἀδικουμένων,
καὶ ὅσοι
ὄντες ἄγραφοι
φέρουσιν αἰσχύνην
ὁμολογουμένην.

XXXVIII. « Καὶ μὴν καὶ
ἐπορισάμεθα τῇ γνώμῃ
πλείστας ἀναπαύλας
τῶν πόνων,
νομίζοντες
ἀγῶσι μέν γε καὶ θυσίαις
διετησίοις,
κατασκευαῖς δὲ
ἰδίαις
εὐπρεπέσιν,
ὧν

ni d'un autre côté
pour-cause-de pauvreté,
mais ayant quelque chose de bon
à faire à la ville,
il *n'en* est empêché
par l'obscurité de *son* rang.
Mais et nous vivons-en-citoyens
librement
dans les choses
concernant *l'intérêt* commun
et pour le soupçon
des uns envers les autres
des habitudes
par jour (de chaque jour),
n'ayant (ne voyant) pas avec colère
celui d'auprès (autrui),
s'il fait quelque chose
en-vue du plaisir,
n'appliquant pas non-plus
des chagrins (des humiliations)
sans-dommage il est vrai,
mais affligeants par le spectacle.
D'autre part ayant-des-rapports
sans-importunité
dans les *affaires* privées,
dans les *affaires* publiques
nous ne transgressons-pas-les-lois,
surtout par crainte-respectueuse,
et par obéissance
de (à) ceux qui sont successivement
en charge
et des (aux) lois,
et surtout *à celles* d'entre ces *lois*
et qui sont établies pour secours
de ceux injustement-traités,
et *à* toutes-celles-qui
étant non-écrites
apportent *à qui les viole* une honte
convenue (qui vient de l'opinion).

XXXVIII. « Et certes aussi
nous avons procuré à l'esprit
de très-nombreux délassements
des travaux,
usant-communément [crifices
d'une part de jeux certes et de sa-
qui-se-succèdent-toute-l'année,
d'autre part de préparatifs (de fêtes)
particuliers
de-belle-apparence (magnifiques
dont

τέρψις τὸ λυπηρὸν ἐκπλήσσει. Ἐπεσέρχεται δὲ διὰ μέγεθος τῆς πόλεως ἐκ πάσης γῆς τὰ πάντα, καὶ ξυμβαίνει ἡμῖν μηδὲν οἰκειοτέρᾳ τῇ ἀπολαύσει τὰ αὐτοῦ ἀγαθὰ γιγνόμενα καρποῦσθαι ἢ καὶ τὰ τῶν ἄλλων ἀνθρώπων.

XXXIX. « Διαφέρομεν δὲ καὶ ταῖς τῶν πολεμικῶν μελέταις τῶν ἐναντίων τοῖσδε. Τήν τε γὰρ πόλιν κοινὴν παρέχομεν, καὶ οὐκ ἔστιν ὅτε ξενηλασίαις ἀπείργομέν τινα ἢ μαθήματος ἢ θεάματος ὃ μὴ κρυφθὲν ἄν τις τῶν πολεμίων ἰδὼν ὠφεληθείη, πιστεύοντες οὐ ταῖς παρασκευαῖς τὸ πλέον καὶ ἀπάταις ἢ τῷ ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα εὐψύχῳ· καὶ ἐν ταῖς παιδείαις οἱ μὲν ἐπιπόνῳ ἀσκήσει εὐθὺς νέοι ὄντες τὸ ἀνδρεῖον μετέρχονται, ἡμεῖς δὲ ἀνειμένως διαιτώμενοι οὐδὲν ἧσσον ἐπὶ τοὺς ἰσοπαλεῖς κινδύνους χωροῦμεν. Τεκμήριον δέ· οὔτε γὰρ Λακεδαιμόνιοι καθ' ἑαυτοὺς, μετὰ πάντων δ' ἐς τὴν γῆν ἡμῶν στρατεύουσι,

journalier dissipe les tristesses de la vie. La grandeur de notre ville fait affluer dans son sein les trésors de toute la terre, et nous jouissons aussi complètement des produits étrangers que de ceux de notre sol.

XXXIX. « Quant à l'apprentissage de la guerre, nous l'emportons en plusieurs points sur nos rivaux. Notre ville n'est fermée à personne; il n'y a point de loi qui, chez nous, écarte les étrangers d'une étude ou d'un spectacle dont nos ennemis pourraient profiter. C'est qu'à l'heure du danger, nous comptons moins sur des préparatifs, sur des stratagèmes prémédités, que sur notre courage naturel. D'autres, par un laborieux exercice commencé dès l'enfance, se font de la bravoure une vertu d'éducation; nous, au contraire, sans nous astreindre à de rudes fatigues, nous n'affrontons pas avec moins de courage qu'eux les dangers proportionnés à notre puissance. Et la preuve, c'est que les Lacédémoniens ne se mettent jamais en campagne contre nous sans se faire

ἡ τέρψις — l'agrément
κατὰ ἡμέραν — *jour* par jour (chaque jour)
ἐκπλήσσει τὸ λυπηρόν. — bannit le chagrin.
Τὰ δὲ πάντα — D'autre part toutes les choses
ἐπεσέρχεται — entrent chez *nous*
ἐκ πάσης γῆς — de toute la terre
διὰ μέγεθος τῆς πόλεως, — à-cause-de la grandeur de la ville,
καὶ ξυμβαίνει ἡμῖν — et il arrive à nous
καρποῦσθαι — de recueillir
τὰ ἀγαθὰ γιγνόμενα αὐτοῦ — les biens *de la terre* qui naissent ici
τῇ ἀπολαύσει — avec la (une) jouissance
μηδὲν οἰκειοτέρᾳ — en rien plus propre
ἢ καὶ — que *nous ne recueillons* aussi
τὰ τῶν ἄλλων ἀνθρώπων. — ceux des autres hommes. [portons

XXXIX. « Διαφέρομεν δὲ — XXXIX. « D'autre part nous l'em-
καὶ ταῖς μελέταις — aussi par les exercices
τῶν πολεμικῶν — des choses de-la-guerre
τῶν ἐναντίων — sur *nos* adversaires
τοῖσδε. — en ces *points*-ci.
Παρέχομέν τε γὰρ τὴν πόλιν — Car et nous offrons la ville
κοινὴν, — commune (ouverte) *à tous*,
καὶ οὐκ ἔστιν ὅτε — et il n'est pas *de cas* où
ξενηλασίαις — par des bannissements-d'étrangers
ἀπείργομέν τινα — nous excluions quelqu'un
ἢ μαθήματος ἢ θεάματος, — ou d'une étude ou d'un spectacle,
ὃ μὴ κρυφθέν — lequel non caché
τις τῶν πολεμίων — quelqu'un de *nos* ennemis
ἰδὼν — ayant vu
ὠφεληθείη ἄν, — pourrait *en* tirer-profit,
πιστεύοντες — ayant-confiance
οὐ ταῖς παρασκευαῖς — non dans les préparatifs
καὶ ἀπάταις — et les tromperies
τὸ πλέον ἢ — plus que
τῷ εὐψύχῳ — dans la bonne-disposition
ἀπὸ ἡμῶν αὐτῶν — *qui vient* de nous-mêmes
ἐς τὰ ἔργα· — aux actions ;
καὶ ἐν ταῖς παιδείαις — et dans les éducations-des-enfants,
οἱ μὲν — les uns [âge)
εὐθὺς ὄντες νέοι — aussitôt étant jeunes (dès le jeune
μετέρχονται τὸ ἀνδρεῖον — atteignent le courage
ἀσκήσει ἐπιπόνῳ, — par un exercice pénible,
ἡμεῖς δὲ — nous d'autre part,
διαιτώμενοι ἀνειμένως — vivant avec-relâchement
χωροῦμεν οὐδὲν ἧσσον — nous ne marchons en rien moins
ἐπὶ τοὺς κινδύνους ἰσοπαλεῖς. — aux dangers égaux.
Τεκμήριον δέ· — Or *en voici* une preuve :
οὔτε γὰρ Λακεδαιμόνιοι — car ni les Lacédémoniens
στρατεύουσιν — *ne* font-une-expédition
ἐς τὴν γῆν ἡμῶν — dans le pays de nous
κατὰ ἑαυτοὺς, — par eux-mêmes (eux seuls),

τήν τε τῶν πέλας αὐτοὶ ἐπελθόντες οὐ χαλεπῶς ἐν τῇ ἀλλοτρίᾳ τοὺς περὶ τῶν οἰκείων ἀμυνομένους μαχόμενοι τὰ πλείω κρατοῦμεν. Ἀθρόᾳ τε τῇ δυνάμει ἡμῶν οὐδείς πω πολέμιος ἐνέτυχε διὰ τὴν τοῦ ναυτικοῦ τε ἅμα ἐπιμέλειαν καὶ τὴν ἐν τῇ γῇ ἐπὶ πολλὰ ἡμῶν αὐτῶν ἐπίπεμψιν· ἢν δέ που μορίῳ τινὶ προσμίξωσι, κρατήσαντές τέ τινας ἡμῶν πάντας αὐχοῦσιν ἀπεῶσθαι καὶ νικηθέντες ὑφ' ἁπάντων ἠσσῆσθαι. Καίτοι εἰ ῥᾳθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ καὶ μὴ μετὰ νόμων τὸ πλεῖον ἢ τρόπων ἀνδρίας ἐθέλομεν κινδυνεύειν, περιγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν, καὶ ἐς αὐτὰ ἐλθοῦσι μὴ ἀτολμοτέρους τῶν ἀεὶ μοχθούντων φαίνεσθαι, καὶ ἔν τε τούτοις τὴν πόλιν ἀξίαν εἶναι θαυμάζεσθαι καὶ ἔτι ἐν ἄλλοις.

suivre de tous leurs alliés; tandis que nous, pénétrant seuls chez nos ennemis, nous triomphons, sans trop de peine, de peuples qui défendent leurs propres foyers. D'ailleurs aucun ennemi ne s'est encore mesuré contre toutes nos forces, dont une partie est toujours distraite par les exigences de notre marine et par l'envoi de nos troupes sur divers points du continent. Et néanmoins, nos adversaires ont-ils quelque engagement avec une fraction de notre armée : vainqueurs, ils se vantent de nous avoir tous défaits; vaincus, ils prétendent n'avoir cédé qu'à nos forces réunies. Et quand il serait vrai que nous aimions mieux nous former à la vaillance par une vie facile que par un exercice pénible, à l'aide des mœurs plutôt que des lois, toujours est-il que nous avons l'avantage de ne pas nous tourmenter d'avance des peines à venir, et que, au moment de l'épreuve, nous ne nous montrons pas pour cela moins braves que ceux dont la vie est un travail sans fin. Mais ce ne sont pas là nos seuls titres de gloire.

μετὰ πάντων δὲ,
ἐπελθόντες τε αὐτοὶ
τὴν
τῶν πέλας,
κρατοῦμεν οὐ χαλεπῶς
τὰ πλείω
μαχόμενοι ἐν τῇ ἀλλοτρίᾳ
τοὺς ἀμυνομένους
περὶ τῶν οἰκείων.
Οὐδείς τε πολέμιος
ἐνέτυχέ πω
τῇ δυνάμει ἀθρόᾳ ἡμῶν,
διὰ τήν τε ἐπιμέλειαν
ἅμα
τοῦ ναυτικοῦ,
καὶ τὴν ἐπίπεμψιν
ἡμῶν αὐτῶν
ἐπὶ πολλὰ ἐν τῇ γῇ·
ἢν δὲ
προσμίξωσί που
τινὶ μορίῳ,
κρατήσαντές τέ
τινας ἡμῶν
αὐχοῦσι
πάντας ἀπεῶσθαι,
καὶ νικηθέντες
ἡσσῆσθαι ὑπὸ ἁπάντων.
Καίτοι εἰ ἐθέλομεν
κινδυνεύειν
ῥᾳθυμίᾳ
μᾶλλον ἢ
μελέτῃ πόνων
καὶ μὴ μετὰ νόμων
τὸ πλεῖον ἢ
τρόπων
ἀνδρίας,
περιγίγνεται
ἡμῖν
μὴ προκάμνειν τε
τοῖς ἀλγεινοῖς
μέλλουσιν,
καὶ ἐλθοῦσιν
ἐς αὐτὰ
μὴ φαίνεσθαι
ἀτολμοτέρους
τῶν μοχθούντων ἀεὶ,
καὶ τὴν πόλιν
εἶναι ἀξίαν θαυμάζεσθαι
ἐν τούτοις τε,
καὶ ἔτι ἐν ἄλλοις.

mais avec tous *leurs auxiliaires*,
et *nous* ayant envahi nous-mêmes
le *pays*
de ceux d'-auprès (de nos voisins),
nous vainquons non difficilement
dans la plupart *des cas*
en combattant sur le *sol* d'-autrui
ceux qui se défendent
pour leurs propres *possessions*.
Et aucun ennemi
ne s'est rencontré encore
avec les forces réunies de nous,
à cause et du soin
que nous prenons en-même-temps
de la marine,
et de l'envoi
de citoyens tirés de nous-mêmes
vers plusieurs *points* sur la terre;
mais si [quelque-part
ils (nos adversaires) se sont engagés
avec une portion *de nos troupes*,
et ayant vaincu
quelques-uns de nous
ils disent-en-se-vantant
nous tous avoir été repoussés,
et ayant été vaincus [réunis.
avoir été battus par *nous* tous-
Et certes si nous voulons
courir-les-dangers
avec nonchalance
plutôt que [gues
avec exercice (habitude) des fati-
et non pas avec (d'après) des lois
plus que
d'après des mœurs (un caractère)
de bravoure,
il *en* résulte-comme-avantage
pour nous
et de ne pas nous-fatiguer-d'avance
des choses pénibles (des maux)
devant-arriver,
et étant venus
à elles (en présence de ces maux)
de ne pas nous montrer
plus-dépourvus-d'audace
que ceux qui se fatiguent toujours,
et la ville
être digne d'être admirée
et dans ces choses,
et encore dans d'autres

XL. « Φιλοκαλοῦμεν γὰρ μετ' εὐτελείας καὶ φιλοσοφοῦμεν ἄνευ μαλακίας· πλούτῳ τε ἔργου μᾶλλον καιρῷ ἢ λόγου κόμπῳ χρώμεθα, καὶ τὸ πένεσθαι οὐχ ὁμολογεῖν τινι αἰσχρὸν, ἀλλὰ μὴ διαφεύγειν ἔργῳ αἴσχιον. Ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα καὶ πολιτικῶν ἐπιμέλεια, καὶ ἕτερα πρὸς ἔργα τετραμμένοις τὰ πολιτικὰ μὴ ἐνδεῶς γνῶναι· μόνοι γὰρ τόν τε μηδὲν τῶνδε μετέχοντα οὐκ ἀπράγμονα, ἀλλ' ἀχρεῖον νομίζομεν, καὶ αὐτοὶ[1] ἤτοι κρίνομέν γε ἢ ἐνθυμούμεθα ὀρθῶς τὰ πράγματα, οὐ τοὺς λόγους τοῖς ἔργοις βλάβην ἡγούμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλλον λόγῳ πρότερον ἢ ἐπὶ ἃ δεῖ ἔργῳ ἐλθεῖν. Διαφερόντως γὰρ δὴ καὶ τόδε ἔχομεν ὥστε τολμᾶν τε οἱ αὐτοὶ μάλιστα καὶ περὶ ὧν ἐπιχειρήσομεν ἐκλογίζεσθαι· ὃ τοῖς ἄλλοις ἀμαθία μὲν θράσος, λογισμὸς δὲ

XL. « Nous excellons à concilier le goût de l'élégance avec la simplicité, la culture de l'esprit avec l'énergie. Nous nous servons de nos richesses, non pour briller, mais pour agir. Chez nous, ce n'est pas une honte que d'avouer sa pauvreté; ce qui en est une, c'est de ne rien faire pour en sortir. On voit ici les mêmes hommes soigner à la fois leurs propres intérêts et ceux de l'État, des gens occupés d'autres travaux entendre suffisamment les questions politiques. C'est que nous regardons le citoyen étranger aux affaires publiques, non comme un ami du repos, mais comme un être inutile. Nous savons et découvrir par nous-mêmes et juger sainement ce qui convient à l'État, nous ne croyons pas que la parole nuise à l'action; ce qui nous paraît nuisible, c'est de ne pas s'éclairer par la discussion. Avant que d'agir nous savons allier admirablement le calme de la réflexion avec la témérité de l'audace; chez d'autres, la hardiesse est l'effet de l'i-

XL « Φιλοκαλοῦμεν γὰρ
μετὰ εὐτελείας,
καὶ φιλοσοφοῦμεν
ἄνευ μαλακίας·
χρώμεθά τε πλούτῳ
μᾶλλον
καιρῷ ἔργου
ἢ κόμπῳ λόγου,
καὶ ὁμολογεῖν
τὸ πένεσθαι
οὐχ αἰσχρόν τινι,
ἀλλὰ μὴ διαφεύγειν
ἔργῳ
αἴσχιον.
Ἐπιμέλειά τε
ἅμα οἰκείων
καὶ πολιτικῶν
ἔνι τοῖς αὐτοῖς,
καὶ τετραμμένοις
πρὸς ἕτερα ἔργα
γνῶναι τὰ πολιτικὰ
μὴ ἐνδεῶς·
μόνοι γὰρ νομίζομέν τε
τὸν μετέχοντα μηδὲν
τῶνδε
οὐχ ἀπράγμονα, ἀλλὰ ἀχρεῖον,
καὶ αὐτοὶ
ἤτοι κρίνομέν γε
ἢ ἐνθυμούμεθα ὀρθῶς
τὰ πράγματα,
ἡγούμενοι οὐ τοὺς λόγους
βλάβην
τοῖς ἔργοις,
ἀλλὰ μᾶλλον
μὴ προδιδαχθῆναι
λόγῳ
πρότερον ἢ ἐλθεῖν ἔργῳ
ἐπὶ ἃ δεῖ.
Ἔχομεν γὰρ δὴ
καὶ τόδε,
διαφερόντως,
ὥστε οἱ αὐτοὶ
τολμᾶν τε
μάλιστα
καὶ ἐκλογίζεσθαι
περὶ ὧν
ἐπιχειρήσομεν·
ὃ τοῖς ἄλλοις
ἀμαθία μὲν φέρει θράσος,
λογισμὸς δὲ

XL. « Car nous sommes-élégants
avec économie (simplicité),
et nous aimons-le-savoir
sans mollesse;
et nous faisons-usage de la richesse
plutôt
comme occasion (moyen) d'action
que *comme* jactance de discours,
et avouer
le être-pauvre (la pauvreté)
n'est *pas* honteux pour quelqu'un,
mais ne pas éviter *la pauvreté*
par l'action (le travail)
est plus honteux
Et le soin
à-la-fois des *affaires* domestiques
et des *affaires* politiques
est dans les mêmes *hommes*,
et *il est dans* des gens tournés
vers d'autres travaux
de connaître les *affaires politiques*
non d'une-manière-insuffisante;
car seuls et nous jugeons
celui qui ne prend-part en rien
à ces *affaires*
non oisif, mais inutile,
et nous-mêmes
ou nous décidons certes
ou nous concevons bien
les affaires,
pensant non pas les discours
être un dommage (nuire)
aux actions,
mais plutôt *ceci être un dommage*
ne pas avoir été instruits-d'-a-
par le discours [vance
avant de venir par l'action
aux choses qu'il faut *faire*.
Nous sommes en effet certes
encore en ceci
d'une-manière-supérieure,
de-sorte-que les mêmes (à la fois)
et être-hardis
le plus,
et réfléchir *le mieux*
sur *les choses* que
nous entreprendrons :
tandis que chez les autres
l'ignorance d'un côté apporte l'au-
la réflexion de l'autre côté [dace,

ὄκνον φέρει. Κράτιστοι δ' ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν οἱ τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γιγνώσκοντες καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. Καὶ τὰ ἐς ἀρετὴν ἡναντιώμεθα τοῖς πολλοῖς· οὐ γὰρ πάσχοντες εὖ, ἀλλὰ δρῶντες κτώμεθα τοὺς φίλους· βεβαιότερος δὲ ὁ δράσας τὴν χάριν ὥστε ὀφειλομένην δι' εὐνοίας ᾧ δέδωκε σώζειν· ὁ δ' ἀντοφείλων ἀμβλύτερος, εἰδὼς οὐκ ἐς χάριν, ἀλλ' ἐς ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων. Καὶ μόνοι οὐ τοῦ ξυμφέροντος μᾶλλον λογισμῷ ἢ τῆς ἐλευθερίας τῷ πιστῷ ἀδεῶς τινα ὠφελοῦμεν.

XLI. « Ξυνελών τε λέγω τήν τε πᾶσαν πόλιν τῆς Ἑλλάδος παίδευσιν εἶναι καὶ καθ' ἕκαστον δοκεῖν ἄν μοι τὸν αὐτὸν ἄνδρα παρ' ἡμῶν ἐπὶ πλεῖστ' ἂν εἶδη καὶ μετὰ χαρίτων

gnorance, et l'irrésolution celui du raisonnement. Or il est juste de décerner la palme du courage à ceux qui, connaissant mieux que personne les charmes de la paix, ne reculent cependant point devant les hasards de la guerre. Pour ce qui tient aux bons offices, nous offrons encore un frappant contraste avec les autres nations. Ce n'est pas en recevant, c'est en accordant des bienfaits, que nous acquérons des amis. Or l'amitié du bienfaiteur est plus solide, parce qu'il est intéressé à ne pas laisser perdre le fruit d'une reconnaissance qui lui est due; tandis que l'obligé a moins d'ardeur, parce qu'il sait que, de sa part, un service rendu est l'acquittement d'une dette plutôt qu'un mérite. Nous obligeons sans calcul ni arrière-pensée, mais avec une confiante générosité.

XLI. « En résumé, j'ose le dire, Athènes, prise dans son ensemble, est l'école de la Grèce; et, si l'on considère les individus, on reconnaîtra que, chez nous, le même homme se prête avec une extrême souplesse et beaucoup de grâce aux situations

ὄκνον.
Κριθεῖεν δὲ ἂν δικαίως
κράτιστοι τὴν ψυχὴν
οἱ γιγνώσκοντες
σαφέστατα
τά τε δεινὰ
καὶ ἡδέα,
καὶ μὴ ἀποτρεπόμενοι
διὰ ταῦτα
ἐκ τῶν κινδύνων.
Καὶ τὰ
ἐς ἀρετὴν
ἡναντιώμεθα
τοῖς πολλοῖς·
κτώμεθα γὰρ τοὺς φίλους
οὐ
πάσχοντες εὖ,
ἀλλὰ
δρῶντες.
Ὁ δὲ δράσας
βεβαιότερος,
ὥστε σῴζειν
διὰ εὔνοίας
τὴν χάριν ὀφειλομένην
ᾧ δέδωκε·
ὁ δὲ
ἀντοφείλων
ἀμβλύτερος,
εἰδὼς
ἀποδώσων
τὴν ἀρετὴν
οὐκ ἐς χάριν,
ἀλλὰ ἐς ὄφλημα.
Καὶ μόνοι
ὠφελοῦμέν τινα ἀδεῶς
οὐ λογισμῷ τοῦ ξυμφέροντος
μᾶλλον ἢ τῷ πιστῷ
τῆς ἐλευθερίας.

XLI. « Ξυνελών τε λέγω
πᾶσάν τε τὴν πόλιν
εἶναι παίδευσιν
τῆς Ἑλλάδος
καὶ κατὰ ἕκαστον
τὸν αὐτὸν ἄνδρα παρὰ ἡμῶν
δοκεῖν μοι
παρέχεσθαι ἂν τὸ σῶμα
αὔταρκες
ἐπὶ εἴδη
πλεῖστα ἂν
μάλιστα ἂν εὐτραπέλως

apporte la timidité.
Or ils seraient jugés justement
les meilleurs par l'âme
ceux qui connaissent
très clairement
et les choses pénibles
et les choses douces,
et qui ne sont pas détournés
pour cela
des dangers.
Et quant aux choses [sance)
concernant la vertu (la bienfai-
nous sommes-dans-une-situation
à la plupart; [contraire
car nous acquérons les amis
non pas [bienfaits),
en éprouvant bien (en recevant des
mais
en faisant *bien* (en les traitant bien).
Or celui qui a fait (*du bien*)
est un ami plus sûr
pour conserver
par une bienveillance *durable*
la faveur (reconnaissance) due
par celui à qui il a donné;
mais celui
qui-doit-en-retour *d'un bienfait*
est plus émoussé (plus nonchalant),
sachant
devant rendre (qu'il rendra)
la vertu (le bienfait) [sance,
non pour *gagner* de la reconnais-
mais pour une dette.
Et seuls
nous aidons quelqu'un sans-crainte
non par calcul de l'intérêt
plutôt que par la confiance
de la liberté (des âmes libérales).

XLI. « Et abrégeant je dis
et toute la ville (Athènes en masse)
être un enseignement (l'école)
de la Grèce [ment)
et *chacun* par chacun (individuelle-
le même homme *sorti* de chez nous
paraître à moi
pouvoir présenter son corps
suffisant
pour les espèces *de travaux*
les plus nombreuses
avec le plus de souplesse

μάλιστ' ἂν εὐτραπέλως τὸ σῶμα αὔταρκες παρέχεσθαι. Καὶ ὡς οὐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον ἢ ἔργων ἐστὶν ἀλήθεια, αὐτὴ ἡ δύναμις τῆς πόλεως, ἣν ἀπὸ τῶνδε τῶν τρόπων ἐκτήσαμεθα, σημαίνει. Μόνη γὰρ τῶν νῦν ἀκοῆς κρείσσων ἐς πεῖραν ἔρχεται καὶ μόνη οὔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει ὑφ' οἵων κακοπαθεῖ, οὔτε τῷ ὑπηκόῳ κατάμεμψιν ὡς οὐχ ὑπ' ἀξίων ἄρχεται. Μετὰ μεγάλων δὲ σημείων καὶ οὐ δή τοι ἀμάρτυρόν γε τὴν δύναμιν παρασχόμενοι τοῖς τε νῦν καὶ τοῖς ἔπειτα θαυμασθησόμεθα, καὶ οὐδὲν προσδεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου οὔτε ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δ' ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει, ἀλλὰ πᾶσαν μὲν θάλασσαν καὶ γῆν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ καταναγκάσαντες γενέσθαι, πανταχοῦ δὲ μνημεῖα κακῶν τε κἀγαθῶν ἀίδια ξυγκατοικίσαντες. Περὶ τοιαύτης οὖν πόλεως οἵδε τε γενναίως δικαιοῦντες μὴ ἀφαιρεθῆναι αὐτὴν

plus diverses. Pour se convaincre que mon langage n'est pas dicté par une vaine jactance, mais qu'il est l'expression de la vérité, il suffit d'envisager la puissance que ces qualités diverses nous ont acquise. Seule de toutes les villes existantes, Athènes, mise à l'épreuve, se trouve supérieure à sa renommée; seule elle peut combattre un ennemi sans qu'il s'irrite de sa défaite, et commander à des sujets sans qu'ils se plaignent d'avoir d'indignes souverains. Cette grandeur de notre république est attestée par les plus éclatants témoignages, qui nous vaudront l'admiration de la postérité aussi bien que de la génération présente, sans qu'il soit besoin pour cela ni des louanges d'un Homère, ni d'une poésie qui pourra charmer passagèrement les oreilles, mais dont les mensonges seront démentis par la réalité des faits. Nous avons forcé toutes les terres et toutes les mers à devenir accessibles à notre audace; partout nous avons laissé des monuments impérissables de nos succès ou de nos revers. Telle est donc cette patrie, pour laquelle ces guerriers sont morts héroïquement plutôt que de se

καὶ μετὰ χαρίτων	et avec grâces.
Καὶ ἡ δύναμις αὐτὴ τῆς πόλεως	Et la puissance même de la ville
ἣν ἐκτησάμεθα	que nous avons acquise
ἀπὸ τῶνδε τῶν τρόπων,	au-moyen-de ces mœurs,
σημαίνει ὡς τάδε	montre que ces choses
οὐκ ἐστὶ κόμπος λόγων	ne sont pas jactance de paroles
ἐν τῷ παρόντι,	dans le *moment* présent,
μᾶλλον ἢ ἀλήθεια ἔργων.	plutôt que vérité de faits.
Μόνη γὰρ τῶν νῦν	Car seule des *villes* d'-à-présent
ἔρχεται ἐς πεῖραν	elle vient à l'épreuve
κρείσσων	plus grande
ἀκοῆς,	que l'ouïe (que sa renommée),
καὶ μόνη ἔχει	et seule elle ne cause
οὔτε ἀγανάκτησιν	ni indignation
τῷ πολεμίῳ ἐπελθόντι	à l'ennemi qui est venu-contre *elle*
ὑπὸ οἵων	*se plaignant* par quels *hommes*
κακοπαθεῖ,	il souffre-du-mal (il est battu),
οὔτε τῷ ὑπηκόῳ κατάμεμψιν	ni au *peuple* soumis reproche
ὡς οὐκ ἄρχεται	qu'il n'est pas commandé
ὑπὸ ἀξίων.	par des *hommes* dignes.
Μετὰ μεγάλων δὲ σημείων,	Mais avec de grands monuments,
καὶ οὐ δή τοι παρασχόμενοι	et n'ayant certainement pas pré-
τὴν δύναμιν	notre puissance [senté
ἀμάρτυρόν γε,	sans-témoignages du moins,
θαυμασθησόμεθα	nous serons admirés
τοῖς τε νῦν	et par les *hommes* d'-à-présent
καὶ τοῖς ἔπειτα,	et par ceux d'-ensuite (à venir),
καὶ προσδεόμενοι οὐδὲν	et n'ayant-en-outre-besoin en rien
οὔτε Ὁμήρου ἐπαινέτου	ni d'un Homère *pour* panégyriste
οὔτε	ni *d'un poète*
ὅστις τέρψει μὲν	qui charmera d'une part
τὸ αὐτίκα	dans le *moment* tout-de-suite
ἔπεσι,	par des poésies-épiques,
ἡ δὲ ἀλήθεια	d'autre part (tandis que) la vérité
βλάψει τὴν ὑπόνοιαν	nuira à (détruira) l'opinion-conçue
τῶν ἔργων,	des faits,
ἀλλὰ καταναγκάσαντες μὲν	mais ayant forcé d'une part
πᾶσαν θάλασσαν καὶ γῆν	toute mer et *toute* terre
γενέσθαι ἐσβατὸν	à devenir accessible,
τῇ ἡμετέρᾳ τόλμῃ,	à notre audace,
ξυγκατοικίσαντες δὲ	d'autre part ayant établi
πανταχοῦ	partout
μνημεῖα ἀίδια	des monuments éternels
κακῶν τε	et de maux *faits à nos ennemis*
καὶ ἀγαθῶν.	et de biens *donnés à nos amis.*
Περὶ τοιαύτης οὖν πόλεως	Pour une telle ville donc [morts)
οἵδε τε ἐτελεύτησαν	et ceux-ci ont fini *leur vie* (sont
μαχόμενοι γενναίως,	en combattant noblement,
δικαιοῦντες	croyant-convenable
μὴ ἀφαιρεθῆναι αὐτὴν,	de ne pas être dépouillés d'elle,

μαχόμενοι ἐτελεύτησαν, καὶ τῶν λειπομένων πάντα τινὰ εἰκὸς ἐθέλειν ὑπὲρ αὐτῆς κάμνειν.

XLII. « Διὸ δὴ καὶ ἐμήκυνα τὰ περὶ τῆς πόλεως, διδασκαλίαν τε ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν ἀγῶνα καὶ οἷς τῶνδε μηδὲν ὑπάρχει ὁμοίως, καὶ τὴν εὐλογίαν ἅμα ἐφ' οἷς νῦν λέγω φανερὰν σημείοις καθιστάς. Καὶ εἴρηται αὐτῆς τὰ μέγιστα· ἃ γὰρ τὴν πόλιν ὕμνησα, αἱ τῶνδε καὶ τῶν τοιῶνδε ἀρεταὶ ἐκόσμησαν, καὶ οὐκ ἂν πολλοῖς τῶν Ἑλλήνων ἰσόρροπος ὥσπερ τῶνδε ὁ λόγος τῶν ἔργων φανείη· δοκεῖ δέ μοι δηλοῦν ἀνδρὸς ἀρετὴν πρώτη τε μηνύουσα καὶ τελευταία βεβαιοῦσα ἡ νῦν τῶνδε καταστροφή. Καὶ γὰρ τοῖς τἆλλα χείροσι δίκαιον τὴν ἐς τοὺς πολέμους ὑπὲρ τῆς πατρίδος ἀνδραγαθίαν προτίθεσθαι· ἀγαθῷ γὰρ κακὸν ἀφανίσαντες κοινῶς μᾶλλον ὠφέλησαν ἢ ἐκ τῶν ἰδίων ἔβλαψαν. Τῶνδε δὲ οὔτε πλούτῳ τις τὴν ἔτι[1] ἀπόλαυσιν προτιμήσας ἐμαλακίσθη

la laisser ravir, et pour laquelle aussi tous ceux qui leur survivent doivent se dévouer et souffrir.

XLII. « Si je me suis étendu sur les louanges de notre ville, c'est pour bien constater que la partie n'est pas égale entre nous et les peuples qui ne jouissent pas de semblables avantages; c'est aussi pour appuyer sur des preuves non équivoques l'éloge des guerriers qui font l'objet de ce discours. A cet égard, ma tâche est à peu près accomplie; car tout ce que j'ai exalté dans notre république est dû à leurs vertus et à celles de leurs pareils. Il est bien peu de Grecs auxquels on puisse donner des louanges si légitimes. Rien n'est plus propre à mettre en relief le mérite d'un homme que cette fin glorieuse qui, chez eux, a été la révélation et le couronnement de la valeur. Ceux qui, à d'autres égards, sont moins recommandables, ont raison de s'immoler dans les combats pour leur pays; ils effacent ainsi le mal par le bien, ils rachètent par leurs services publics les torts de leur conduite privée. Mais tel n'a point été le mobile de nos héros. Nul d'entre eux n'a faibli par le désir de jouir plus longtemps de la fortune;

καὶ εἰκὸς
πάντα τινὰ τῶν λειπομένων
ἐθέλειν κάμνειν
ὑπὲρ αὐτῆς.

XLII. « Διὸ δὴ
καὶ ἐμήκυνα
τὰ περὶ τῆς πόλεως,
ποιούμενός τε διδασκαλίαν
τὸν ἀγῶνα μὴ εἶναι περὶ ἴσου
ἡμῖν καὶ οἷς
μηδὲν τῶνδε
ὑπάρχει ὁμοίως,
καὶ ἅμα
καθιστὰς φανερὰν
σημείοις
τὴν εὐλογίαν,
ἐπὶ οἷς λέγω νῦν.
Καὶ τὰ μέγιστα αὐτῆς
εἴρηται·
αἱ γὰρ ἀρεταὶ τῶνδε
καὶ τῶν τοιῶνδε
ἐκόσμησαν,
ἃ ὕμνησα τὴν πόλιν,
καὶ οὐ πολλοῖς τῶν Ἑλλήνων
ὁ λόγος φανείη ἂν
ἰσόρροπος τῶν ἔργων,
ὥσπερ τῶνδε.
Ἡ δὲ καταστροφὴ νῦν
τῶνδε
δοκεῖ μοι
δηλοῦν ἀρετὴν ἀνδρὸς
πρώτη τε μηνύουσα
καὶ τελευταία
βεβαιοῦσα.
Καὶ γὰρ δίκαιον
τὴν ἀνδραγαθίαν
ὑπὲρ τῆς πατρίδος
ἐς τοὺς πολέμους
προτίθεσθαι
τοῖς χείροσι τὰ ἄλλα·
ἀφανίσαντες γὰρ
κακὸν ἀγαθῷ,
ὠφέλησαν μᾶλλον κοινῶς
ἢ ἔβλαψαν
ἐκ τῶν ἰδίων.
Τῶνδε δὲ
οὔτε τις ἐμαλακίθη
πλούτῳ,
προτιμήσας
τὴν ἀπόλαυσιν ἔτι,

et *il est* juste
un chacun de ceux qui-restent
vouloir supporter-des-travaux
pour elle.

XLII. « C'est pourquoi donc
j'ai traité-longuement aussi
les choses concernant la ville,
et faisant un enseignement
la lutte n'être pas pour un *objet* égal
à nous et *à ceux* à qui
aucun de ces *avantages*
n'appartient pareillement,
et en-même-temps
établissant manifeste
par des preuves
l'éloge *de ceux*,
sur lesquels je parle à présent.
Et les choses les plus grandes de
ont été dites; [cet *éloge*
car les vertus de ceux-ci
et des *hommes* tels
ont préparé *ces avantages*
pour lesquels j'ai loué la ville,
et non chez beaucoup des Grecs
le discours serait montré
équivalent des actes, [ci.
comme *il l'est des actes* de ceux-
Or la fin d'-à-présent (récente)
de ces *guerriers*
paraît à moi
montrer la vertu de l'homme
et la première (d'abord) *la* signalant
et la dernière (à la fin)
la confirmant.
Et en effet *il est* juste
la bravoure
pour la patrie
dans les guerres
être mise-en-avant
pour ceux inférieurs dans le reste;
car ayant fait-disparaître
le mal par le bien, [ment
ils ont plus servi *la ville* publique-
qu'ils ne *lui* ont nui
par leurs *torts* particuliers.
Or de ceux-ci
ni aucun n'a été amolli
par la richesse
ayant préféré
la jouissance encore (plus longue),

οὔτε πενίας ἐλπίδι, ὡς κἂν ἔτι διαφυγὼν αὐτὴν πλουτήσειεν, ἀναβολὴν τοῦ δεινοῦ ἐποιήσατο· τὴν δὲ τῶν ἐναντίων τιμωρίαν ποθεινοτέραν αὐτῶν λαβόντες καὶ κινδύνων ἅμα τόνδε κάλλιστον νομίσαντες, ἐβουλήθησαν μετ' αὐτοῦ τοὺς μὲν τιμωρεῖσθαι, τῶν δὲ ἀφίεσθαι[1], ἐλπίδι μὲν τὸ ἀφανὲς τοῦ καθορθώσειν ἐπιτρέψαντες, ἔργῳ δὲ περὶ τοῦ ἤδη ὁρωμένου σφίσιν αὐτοῖς ἀξιοῦντες πεποιθέναι· καὶ ἑαυτῶν τὸ ἀμύνεσθαι καὶ παθεῖν μᾶλλον ἡγησάμενοι ἢ τὸ ἐνδόντες σῴζεσθαι, τὸ μὲν αἰσχρὸν τοῦ λόγου ἔφυγον, τὸ δ' ἔργον τῷ σώματι ὑπέμειναν, καὶ δι' ἐλαχίστου καιροῦ τύχης, ἅμα ἀκμῇ τῆς δόξης μᾶλλον ἢ τοῦ δέους, ἀπηλλάγησαν.

XLIII. « Καὶ οἵδε μὲν προσηκόντως τῇ πόλει τοιοίδε ἐγένοντο· τοὺς δὲ λοιποὺς χρὴ ἀσφαλεστέραν μὲν εὔχεσθαι, ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν τὴν ἐς τοὺς πολεμίους διάνοιαν ἔχειν, σκοποῦντας μὴ λόγῳ μόνῳ τὴν ὠφελίαν, ἣν ἄν τις

nul, dans l'espoir d'échapper à l'indigence et de s'enrichir, n'a voulu ajourner l'heure du danger; mais, désirant par-dessus tout punir d'injustes adversaires, et regardant cette lutte comme la plus glorieuse, ils ont voulu, à ce prix, satisfaire leur vengeance en renonçant aux autres biens. Ils ont livré à l'espérance la perspective incertaine de la victoire, mais pour le présent, ils n'ont eu confiance qu'en eux-mêmes. Préférant se venger et mourir, plutôt que de céder pour sauver leur vie, ils ont repoussé la flétrissure de leur mémoire, bravé les chances du combat; et, par le hasard d'un instant ils sont sortis de la vie au plus fort de la gloire, non à l'instant de la crainte.

XLIII. « C'est ainsi que ces guerriers se sont montrés les dignes enfants de la patrie. Quant à vous qui leur survivez, souhaitez que vos jours soient plus heureusement préservés, et déployez contre les ennemis le même héroïsme. Ne vous bornez pas à

οὔτε ἐλπίδι πενίας,
ὡς καὶ ἔτι
διαφυγὼν αὐτὴν
πλουτήσειεν ἄν,
ἐποιήσατο ἀναβολὴν
τοῦ δεινοῦ·
λαβόντες δὲ
τὴν τιμωρίαν τῶν ἐναντίων
ποθεινοτέραν αὐτῶν,
καὶ νομίσαντες ἅμα
τόνδε κάλλιστον
κινδύνων,
ἐβουλήθησαν
μετὰ αὐτοῦ
τιμωρεῖσθαι τοὺς μέν,
ἁφίεσθαι τῶν δὲ,
ἐπιτρέψαντες μὲν ἐλπίδι
τὸ ἀφανὲς
τοῦ κατορθώσειν,
ἔργῳ δὲ
ἀξιοῦντες
πεποιθέναι σφίσιν αὐτοῖς
περὶ
τοῦ ὁρωμένου ἤδη·
καὶ ἡγησάμενοι
τὸ ἀμύνεσθαι καὶ παθεῖν
μᾶλλον ἑαυτῶν
ἢ τὸ σῴζεσθαι
ἐνδόντες,
ἔφυγον μὲν
τὸ αἰσχρὸν τοῦ λόγου,
ὑπέμειναν δὲ
τὸ ἔργον
τῷ σώματι,
καὶ διὰ τύχης
ἐλαχίστου καιροῦ
ἅμα ἀκμῇ
τῆς δόξης μᾶλλον ἢ τοῦ δέους
ἀπηλλάγησαν.

XLIII. « Καὶ οἵδε μὲν
ἐγένοντο τοιοίδε τῇ πόλει
προσηκόντως·
χρὴ δὲ τοὺς λοιποὺς
εὔχεσθαι μὲν ἔχειν
τὴν διάνοιαν ἐς τοὺς πολεμίους
ἀσφαλεστέραν,
ἀξιοῦν δὲ
μηδὲν ἀτολμοτέραν,
σκοποῦντας
μὴ λόγῳ μόνῳ

ni par l'espérance de la pauvreté,
à savoir que désormais aussi
ayant échappé à elle
il deviendrait-riche, [ter)
n'a fait de délai (n'a hésité à affron-
du danger (le danger);
mais ayant pris (jugé)
la vengeance contre ennemis
être plus désirable que ces *biens*,
et ayant pensé en-même-temps
ce *danger être* le plus beau
des dangers
ils ont voulu
avec lui (en s'y exposant)
se venger des uns (des ennemis),
se détacher des autres (des biens),
d'une part ayant abandonné à l'es-
l'incertitude [pérance
du devoir réussir (du succès),
d'autre part par le fait (en réalité)
jugeant-digne [mêmes
de *n'*avoir-confiance *qu'*en eux-
au sujet
de ce qui était vu déjà (du présent);
et ayant considéré
le combattre et souffrir (mourir)
comme plus *digne* d'eux-mêmes
que le être sauvés
ayant cédé,
ils ont évité d'un côté
la honte du mot *de lâche*,
d'un autre côté ils ont supporté
la chose (la mort)
avec leur corps,
et par le hasard
d'un très court moment
avec le plus-haut-degré
de la gloire plutôt que de la crainte,
ils furent délivrés *de la vie*.

XLIII. « Et ceux-ci d'un côté
furent tels pour la ville
comme-il-convenait; [restent
d'un autre côté il faut ceux qui-
souhaiter d'une part d'avoir
la disposition envers les ennemis
plus sûre (moins funeste),
d'autre part juger-convenable
de ne l'avoir en rien moins-coura-
ayant-en-vue [geuse
non pas dans le discours seul

πρὸς οὐδὲν χεῖρον αὐτοὺς ὑμᾶς εἰδότας μηκύνοι, λέγων ὅσα ἐν τῷ τοὺς πολεμίους ἀμύνεσθαι ἀγαθὰ ἔνεστιν· ἀλλὰ μᾶλλον τὴν τῆς πόλεως δύναμιν καθ' ἡμέραν ἔργῳ θεωμένους καὶ ἐραστὰς γιγνομένους αὐτῆς, καὶ ὅταν ὑμῖν μεγάλη δόξῃ εἶναι, ἐνθυμουμένους ὅτι τολμῶντες καὶ γιγνώσκοντες τὰ δέοντα καὶ ἐν τοῖς ἔργοις αἰσχυνόμενοι ἄνδρες αὐτὰ ἐκτήσαντο, καὶ ὁπότε καὶ πείρᾳ του σφαλεῖεν, οὔκουν καὶ τὴν πόλιν γε τῆς σφετέρας ἀρετῆς ἀξιοῦντες στερίσκειν, κάλλιστον δὲ ἔρανον αὐτῇ προϊέμενοι. Κοινῇ γὰρ τὰ σώματα διδόντες, ἰδίᾳ τὸν ἀγήρων ἔπαινον ἐλάμβανον καὶ τὸν τάφον ἐπισημότατον, οὐκ ἐν ᾧ κεῖνται μᾶλλον, ἀλλ' ἐν ᾧ ἡ δόξα αὐτῶν παρὰ τῷ ἐντυχόντι ἀεὶ καὶ λόγου καὶ ἔργου καιρῷ ἀείμνηστος καταλείπεται. Ἀνδρῶν γὰρ ἐπιφανῶν πᾶσα γῆ τάφος, καὶ οὐ στηλῶν μόνον ἐν τῇ οἰκείᾳ σημαίνει ἐπιγραφή, ἀλλὰ καὶ ἐν τῇ μὴ προσηκούσῃ ἄγραφος μνήμη παρ' ἑκάστῳ τῆς γνώμης μᾶλλον ἢ τοῦ ἔργου

exalter en paroles les biens attachés à la défense du pays et au châtiment de ceux qui l'attaquent, — biens qu'il est superflu d'exposer ici, puisque vous les connaissez de reste, — mais contemplez chaque jour dans toute sa splendeur la puissance de notre république; nourrissez-en votre enthousiasme: et, quand vous en serez bien pénétrés, songez que c'est à force d'intrépidité, de prudence et de dévouement, que ces héros l'ont élevée si haut. Bien que le succès n'ait pas toujours couronné leurs efforts, ils n'ont pas voulu frustrer Athènes de leur vaillance, mais ils lui ont payé le plus magnifique tribut. En s'immolant pour la patrie, ils ont acquis une gloire immortelle et trouvé un superbe mausolée, moins dans la tombe où ils reposent, que dans le souvenir toujours vivant de leurs exploits. Les hommes illustres ont pour tombeau la terre entière. Non seulement leur pays conserve leurs noms gravés sur des colonnes, mais, jusque dans les régions les plus lointaines, à défaut d'épitaphe, la renommée élève à leur mémoire un monument imma-

τὴν ὠφελίαν,
ἤν τις μηχύνοι ἂν
πρὸς ὑμᾶς εἰδότας
οὐδὲν χεῖρον,
λέγων ὅσα ἀγαθὰ
ἔνεστιν
ἐν τῷ ἀμύνεσθαι τοὺς πολεμίους,
ἀλλὰ μᾶλλον θεωμένους ἔργῳ
κατὰ ἡμέραν
τὴν δύναμιν τῆς πόλεως,
καὶ γιγνομένους ἐραστὰς αὐτῆς,
καὶ ὅταν δόξῃ ὑμῖν
εἶναι μεγάλη,
ἐνθυμουμένους
ὅτι ἄνδρες τολμῶντες
καὶ γιγνώσκοντες τὰ δέοντα
καὶ αἰσχυνόμενοι
ἐν τοῖς ἔργοις
ἐκτήσαντο αὐτὰ,
καὶ ὁπότε καὶ σφαλεῖεν
πείρᾳ του,
οὔκουν ἀξιοῦντες
στερίσκειν
καὶ τὴν πόλιν γε
τῆς σφετέρας ἀρετῆς,
προϊέμενοι δὲ αὐτῇ
κάλλιστον ἔρανον.
Διδόντες γὰρ κοινῇ
τὰ σώματα,
ἐλάμβανον ἰδίᾳ
τὸν ἔπαινον ἀγήρων
καὶ τὸν τάφον ἐπισημότατον,
οὐ μᾶλλον ἐν ᾧ
κεῖνται,
ἀλλὰ ἐν ᾧ
ἡ δόξα αὐτῶν
καταλείπεται ἀείμνηστος
παρὰ τῷ καιρῷ
ἐντυχόντι ἀεὶ
καὶ λόγου καὶ ἔργου.
Πᾶσα γὰρ γῆ
τάφος ἀνδρῶν ἐπιφανῶν,
καὶ οὐ μόνον
ἐπιγραφὴ στηλῶν
ἐν τῇ οἰκείᾳ
σημαίνει,
ἀλλὰ καὶ
ἐν τῇ μὴ προσηκούσῃ
μνήμη ἄγραφος
ἐνδιαιτᾶται παρὰ ἑκάστῳ

l'utilité,
que quelqu'un pourrait développer
auprès de vous qui *la* connaissez
en rien moins-bien *que lui*,
disant combien-de biens
sont
dans le repousser les ennemis,
mais plutôt considérant par le fait
jour par jour (tous les jours)
la puissance de la ville,
et devenant épris d'elle,
et quand elle aura paru à vous
être grande,
réfléchissant
que des hommes pleins-de-courage
et connaissant ce qu'il-fallait *faire*
et craignant-la-honte
dans les actions
ont acquis ces *biens*,
et quand aussi ils avaient échoué
dans la tentative de quelque-chose
pour cela ne jugeant pas-convenable
de priver
aussi la ville du moins
de leur vertu,
mais offrant *cette vertu* à elle
comme la plus belle contribution.
Car donnant publiquement
leurs corps,
ils recevaient en-particulier
la louange qui-ne-vieillit-pas
et la sépulture la plus glorieuse,
non pas plutôt *celle* dans laquelle
ils sont couchés,
mais *celle* dans laquelle
la gloire d'eux
est laissée éternelle-de-souvenir
dans l'occasion
qui se présente successivement
et de parole et d'action.
Car toute la terre
est la sépulture d'hommes illustres,
et non pas seulement
l'inscription des stèles
dans leur propre *pays*
indique (sert de témoignage),
mais encore
dans celui qui n'appartient pas *à eux*
le souvenir non-écrit
subsiste dans chacun

ἐνδιαιτᾶται. Οὓς νῦν ὑμεῖς ζηλώσαντες καὶ τὸ εὔδαιμον τὸ ἐλεύθερον τὸ δὲ ἐλεύθερον τὸ εὔψυχον κρίναντες, μὴ περιορᾶσθε τοὺς πολεμικοὺς κινδύνους. Οὐ γὰρ οἱ κακοπραγοῦντες δικαιότερον ἀφειδοῖεν ἂν τοῦ βίου, οἷς ἐλπὶς οὐκ ἔστ' ἀγαθοῦ, ἀλλ' οἷς ἡ ἐναντία μεταβολὴ ἐν τῷ ζῆν ἔτι κινδυνεύεται καὶ ἐν οἷς μάλιστα μεγάλα τὰ διαφέροντα, ἤν τι πταίσωσιν. Ἀλγεινοτέρα γὰρ ἀνδρί γε φρόνημα ἔχοντι ἡ μετὰ τοῦ μαλακισθῆναι κάκωσις ἢ ὁ μετὰ ῥώμης καὶ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος ἀναίσθητος θάνατος.

XLIV. « Διόπερ καὶ τοὺς τῶνδε νῦν τοκέας, ὅσοι παρέστε, οὐκ ὀλοφύρομαι μᾶλλον ἢ παραμυθήσομαι. Ἐν πολυτρόποις γὰρ ξυμφοραῖς ἐπίστανται τραφέντες, τὸ δ' εὐτυχὲς, οἳ ἂν τῆς εὐπρεπεστάτης λάχωσιν ὥσπερ οἵδε μὲν νῦν τελευτῆς ὑμεῖς δὲ λύπης, καὶ οἷς ἐνευδαιμονῆσαί τε ὁ βίος ὁμοίως καὶ ἐντελευτῆσαι ξυνεμετρήθη. Χαλεπὸν μὲν οὖν οἶδα πείθειν ὄν, ὧν [1]

tériel. Les prenant donc aujourd'hui pour modèle et plaçant le bonheur dans la liberté, la liberté dans le courage, ne reculez pas devant les hasards des combats. Ce ne sont pas les malheureux, privés de l'espérance d'un meilleur sort, qui ont le plus de raison de sacrifier leur vie, mais ceux qui ont encore à perdre et à qui un revers peut ravir de précieux avantages. Pour l'homme de cœur, l'humiliation qui suit un acte de faiblesse est plus poignante que cette mort qu'on ne sent pas, lorsqu'elle vient frapper dans sa force le guerrier animé par l'espérance commune.

XLIV. « Aussi n'est-ce pas des larmes, mais plutôt des encouragements que je veux offrir aux pères qui m'écoutent. Ils savent, qu'ils ont été nourris au milieu des vicissitudes de toute sorte, et que le bonheur est pour ceux qui obtiennent, comme vos fils, la fin la plus glorieuse ou, comme vous, le deuil le plus glorieux, et dont la vie a été mesurée de telle sorte que la limite du bonheur et l'heure de la mort y coïncident Je n'ignore pas qu'il est difficile de vous

μᾶλλον τῆς γνώμης
ἢ τοῦ ἔργου.
Οὓς ὑμεῖς νῦν
ζηλώσαντες
καὶ κρίναντες τὸ εὔδαιμον
τὸ ἐλεύθερον
τὸ δὲ ἐλεύθερον τὸ εὔψυχον,
μὴ περιορᾶσθε
τοὺς κινδύνους πολεμικούς.
Οἱ γὰρ κακοπραγοῦντες
οὐκ ἀφειδοῖεν ἂν τοῦ βίου
δικαιότερον,
οἷς ἐλπὶς ἀγαθοῦ
οὐκ ἐστὶν,
ἀλλὰ οἷς
ἡ μεταβολὴ ἐναντία
κινδυνεύεται ἔτι
ἐν τῷ ζῆν
καὶ ἐν οἷς μάλιστα
τὰ διαφέροντα μεγάλα,
ἢν πταίσωσί τι.
Ἡ γὰρ κάκωσις
μετὰ τοῦ μαλακισθῆναι
ἀλγεινοτέρα
ἀνδρί γε ἔχοντι φρόνημα
ἢ ὁ θάνατος
γιγνόμενος ἀναίσθητος
μετὰ ῥώμης
καὶ ἅμα
ἐλπίδος κοινῆς.

XLIV. « Διόπερ καὶ
νῦν οὐκ ὀλοφύρομαι
τοὺς τοκέας τῶνδε,
ὅσοι πάρεστε,
μᾶλλον ἢ παραμυθήσομαι
Ἐπίστανται γὰρ
τραφέντες
ἐν ξυμφοραῖς
πολυτρόποις·
τὸ δὲ εὐτυχὲς,
οἳ λάχωσιν ἂν
τῆς εὐπρεπεστάτης τελευτῆς
ὥσπερ οἵδε μὲν νῦν
ὑμεῖς δὲ
λύπης,
καὶ οἷς ὁ βίος ξυνεμετρήθη
ἐνευδαιμονῆσαί τε
καὶ ἐντελευτῆσαι ὁμοίως.
Οἶδα μὲν οὖν
ὃν χαλεπὸν

plutôt *souvenir* de la pensée
que de l'ouvrage (du tombeau).
Lesquels vous maintenant
ayant pris-pour-modèle
et ayant jugé le bonheur
être la liberté
et la liberté *être* la grandeur-d'âme,
ne négligez (ne refusez) pas
les dangers de-la-guerre.
Car ceux qui-sont-malheureux
ne prodigueraient pas leur vie
avec plus de raison *que les autres*
eux à qui l'espérance d'un bien
n'est pas,
mais *ceux* pour qui
le changement contraire [encore
est risqué (est un risque à courir)
dans le vivre
et *ceux* pour qui surtout
les différences *sont* grandes,
s'ils viennent à échouer en quelque-
Car l'amoindrissement [chose.
avec le se-conduire-mollement
est plus affligeant [cœur
pour un homme du moins ayant du
que la mort
qui arrive insensible
avec courage
et en-même-temps
avec espérance publique.

XLIV. « C'est pourquoi aussi
à présent je ne gémis pas
sur les parents de ceux-ci,
ô vous tous-*pères*-qui êtes-présents,
plutôt que je ne *les* consolerai.
Car ils savent
ayant (qu'ils ont) été nourris
au milieu d'accidents
de-toute-sorte;
et *ils savent* le bonheur *être à ceux*,
qui auront eu-en-partage
la plus glorieuse fin [nant
comme ceux-ci d'un côté mainte-
et *comme* vous de l'autre côté
la douleur *la plus glorieuse*,
et *à ceux* à qui la vie a été mesurée
et *de manière à* être-heureuse
et à finir pareillement.
Je sais bien certes
étant (qu'il est) difficile

καὶ πολλάκις ἔξετε ὑπομνήματα ἐν ἄλλων εὐτυχίαις, αἷς ποτε καὶ αὐτοὶ ἠγάλλεσθε· καὶ λύπη οὐχ ὧν ἄν τις μὴ πειρασάμενος ἀγαθῶν στερίσκηται, ἀλλ' οὗ ἂν ἐθὰς γενόμενος ἀφαιρεθῇ. Καρτερεῖν δὲ χρὴ καὶ ἄλλων παίδων ἐλπίδι οἷς ἔτι ἡλικία τέκνωσιν ποιεῖσθαι· ἰδίᾳ τε γὰρ τῶν οὐκ ὄντων, λήθη οἱ ἐπιγιγνόμενοί τισιν ἔσονται, καὶ τῇ πόλει διχόθεν, ἔκ τε τοῦ μὴ ἐρημοῦσθαι καὶ ἀσφαλείᾳ, ξυνοίσει· οὐ γὰρ οἷόν τε ἴσον τι ἢ δίκαιον βουλεύεσθαι οἱ ἂν μὴ καὶ παῖδας ἐκ τοῦ ὁμοίου παραβαλλόμενοι κινδυνεύωσιν. Ὅσοι δ' αὖ παρηβήκατε, τόν τε πλείονα κέρδος ὂν ηὐτυχεῖτε βίον ἡγεῖσθε καὶ τόνδε[1] βραχὺν ἔσεσθαι, καὶ τῇ τῶνδε εὐκλείᾳ κουφίζεσθε· τὸ γὰρ φιλότιμον ἀγήρων μόνον, καὶ οὐκ ἐν τῷ ἀχρείῳ τῆς ἡλικίας τὸ κερ-

persuader; car souvent le bonheur d'autrui vous rappellera celui dont vous jouissiez naguère. Je sais que la douleur n'est pas dans l'absence des biens qu'on n'a pas connus, mais dans la privation de ceux dont on s'était fait une douce habitude. Reprenez donc courage dans l'espoir d'avoir d'autres enfants, vous à qui l'âge le permet encore. De nouveaux fils remplaceront dans les familles ceux qui ne sont plus; l'État y gagnera à la fois de réparer ses pertes et de voir garantir sa sûreté; car on ne saurait apporter dans les délibérations le même patriotisme et la même sagesse, lorsqu'on n'a pas, comme les autres, des enfants à exposer au danger. Et vous qui approchez du terme de la carrière, considérez comme un gain d'en avoir passé la plus grande partie dans le bonheur. Songez que le reste sera court et allégé par la gloire de vos enfants. La passion de l'honneur est la seule qui jamais ne vieillisse; et, dans la caducité de l'âge, le seul plaisir n'est

πείθειν,
ὧν καὶ πολλάκις
ἔξετε ὑπομνήματα
ἐν εὐτυχίαις ἄλλων,
αἷς ποτε
καὶ αὐτοὶ
ἠγάλλεσθε·
καὶ λύπη
οὐκ ἀγαθῶν
ὧν τις στερίσκηται ἄν
μὴ πειρασάμενος,
ἀλλὰ
οὗ ἀφαιρέθη ἄν
γενόμενος ἐθάς.
Χρὴ δὲ καρτερεῖν
ἐλπίδι
καὶ ἄλλων παίδων,
οἷς ἡλικία ἔτι
ποιεῖσθαι τέκνωσιν·
ἰδίᾳ γάρ τε
τῶν οὐκ ὄντων,
οἱ ἐπιγιγνόμενοι
ἔσονταί τισι
λήθη,
καὶ ξυνοίσει τῇ πόλει
διχόθεν,
ἔκ τε τοῦ μὴ ἐρημοῦσθαι
καὶ ἀσφαλείᾳ·
οὐ γὰρ οἷόν τε
βουλεύεσθαί τι
ἴσον ἢ δίκαιον,
οἳ μὴ κινδυνεύωσιν ἂν
παραβαλλόμενοι καὶ παῖδας
ἔκ τοῦ ὁμοίου.
Ὅσοι δὲ αὖ
παρηβήκατε,
ἡγεῖσθέ τε
τὸν πλείονα βίον,
ὃν ηὐτυχεῖτε,
κέρδος,
καὶ τόνδε
ἔσεσθαι βραχὺν,
καὶ κουφίζεσθε
τῇ εὐκλείᾳ τῶνδε·
τὸ γὰρ φιλότιμον μόνον
ἀγήρων,
καὶ οὐ τὸ κερδαίνειν,
ὥσπερ τινές φασιν,
ἀλλὰ τὸ τιμᾶσθαι
τέρπει μᾶλλον

de persuader *à vous* cela
au sujet de ceux dont souvent aussi
vous aurez des souvenirs
dans les félicités d'autres,
desquelles autrefois
vous-mêmes aussi
vous vous glorifiiez;
et douleur *est*
non *à cause* des biens
dont quelqu'un aura été privé
ne *les* ayant pas éprouvés,
mais *à cause de celui*
dont il aura été dépouillé
ayant été habitué à *le posséder*.
Mais il faut *ceux-là* se résigner
dans l'espérance
d'avoir encore d'autres enfants,
ceux à qui l'âge *est* encore
de faire procréation (de procréer);
car et en-particulier
ceux-ci n'étant plus,
les *enfants* survenant
seront pour quelques-uns
*une cause d'*oubli,
et *cela* sera-utile à la ville
de-deux-côtés,
et par le ne pas être dépeuplée
et par la sécurité;
car *il* n'*est* pas possible
ceux-là délibérer en quelque chose
également ou justement, [ques
qui n'auront pas à courir-des-ris-
en exposant aussi des enfants
de la même *manière que les autres*.
Et d'autre part *vous* tous-qui
avez passé-l'âge-viril,
et qui estimez
la plus grande partie de *votre* vie,
pendant laquelle vous étiez-heu-
être un gain, [reux,
et celle-ci *qui reste*
devoir être courte,
et soyez soulagés
par la gloire de ceux-ci;
car l'amour-de-l'honneur seul
est exempt-de-vieillesse,
et non le faire-du-gain,
comme quelques-uns *le* disent,
mais le être honoré
réjouit davantage

δαίνειν, ὥσπερ τινές φασι, μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶσθαι.

XLV. « Παισὶ δ' αὖ, ὅσοι τῶνδε πάρεστε, ἢ ἀδελφοῖς ὁρῶ μέγαν τὸν ἀγῶνα· τὸν γὰρ οὐκ ὄντα ἅπας εἴωθεν ἐπαινεῖν, καὶ μόλις ἂν καθ' ὑπερβολὴν ἀρετῆς οὐχ ὁμοῖοι, ἀλλ' ὀλίγῳ χείρους κριθεῖτε· φθόνος γὰρ τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον, τὸ δὲ μὴ ἐμποδὼν ἀνανταγωνίστῳ εὐνοίᾳ τενίμηται. Εἰ δέ με δεῖ καὶ γυναικείας τι ἀρετῆς, ὅσαι νῦν ἐν χηρείᾳ ἔσονται, μνησθῆναι, βραχείᾳ παραινέσει ἅπαν σημανῶ· τῆς τε γὰρ ὑπαρχούσης φύσεως μὴ χείροσι γενέσθαι ὑμῖν μεγάλη ἡ δόξα καὶ ἧς ἂν ἐπ' ἐλάχιστον ἀρετῆς πέρι ἢ ψόγου ἐν τοῖς ἄρσεσι κλέος ᾖ.

XLVI. « Εἴρηται καὶ ἐμοὶ λόγῳ κατὰ τὸν νόμον ὅσα εἶχον πρόσφορα, καὶ ἔργῳ οἱ θαπτόμενοι τὰ μὲν ἤδη κεκόσμηνται, τὰ δὲ αὐτῶν τοὺς παῖδας τὸ ἀπὸ τοῦδε δημοσίᾳ ἡ πόλις μέχρι ἥβης θρέψει, ὠφέλιμον στέφανον[1] τοῖσδέ τε καὶ

pas, comme on le prétend, d'amasser des richesses, mais de commander le respect.

Périclès à l'amende; mais bientôt, par une inconséquence naturelle à la multitude, on le réélut général et on lui confia le pouvoir suprême. C'est que les douleurs particulières commençaient à s'amortir et qu'on le regardait comme le seul homme capable de faire face aux nécessités publiques. Tout le temps qu'il fut à la tête des affaires, durant la paix, il gouverna avec modération, pourvut à la sûreté de l'État et le fit parvenir au faîte de la puissance; quand la guerre éclata, ce fut encore lui qui révéla aux Athéniens le secret de leurs forces. Il survécut deux ans et demi. Sa mort fit voir plus clairement encore la justesse de ses calculs. Il avait dit aux Athéniens que, s'ils restaient en repos et se contentaient de soigner leur marine, sans chercher à étendre leur empire pendant la guerre et sans exposer l'existence de la république, ils finiraient par triompher. Sur tous ces points, ils firent exactement l'inverse. Pour satisfaire des ambitions et des cupidités privées, ils formèrent, en

ἐπαύσαντο	ne cessèrent
ἔχοντες αὐτὸν ἐν ὀργῇ	ayant (de traiter) lui avec colère
πρότερόν γε	précédemment au moins
πρὶν ἐζημίωσαν	avant qu'ils *l'*eussent puni
χρήμασιν.	par de l'argent (par une amende).
Οὐ δὲ πολλῷ ὕστερον,	Mais non beaucoup après,
ὅπερ ὅμιλος	*ce* que la multitude
φιλεῖ ποιεῖν,	aime à (a coutume de) faire,
εἵλοντο αὖθις στρατηγὸν,	ils *l'*élurent de nouveau stratège
καὶ ἐπέτρεψαν	et *lui* remirent
πάντα τὰ πράγματα,	toutes les affaires, [sés
ὄντες μὲν ἤδη ἀμβλύτεροι,	étant d'une part déjà plus émous-
ὧν ἕκαστος	*au sujet des choses* dont chacun
ἤλγει	était-affligé [ques,
περὶ τὰ οἰκεῖα,	concernant ses *affaires* domesti-
νομίζοντες δὲ	d'autre part pensant
εἶναι ἄξιον πλείστου	*lui* être digne du plus grand *cas*,
ὧν ἡ πόλις	pour *les choses* dont la ville
ξύμπασα	tout-entière
προσεδεῖτο.	avait-besoin.
Ὅσον τε γὰρ χρόνον	Car et tout le temps que
προύστη τῆς πόλεως	il fut-à-la-tête-de la ville
ἐν τῇ εἰρήνῃ,	pendant la paix,
ἐξηγεῖτο μετρίως	il *la* gouvernait modérément
καὶ διεφύλαξεν αὐτὴν ἀσφαλῶς,	et il conserva elle en-sûreté,
καὶ ἐγένετο μεγίστη ἐπὶ ἐκείνου·	et elle devint très-grande sous lui ;
ἐπεί τε ὁ πόλεμος	et quand la guerre
κατέστη,	fut établie (eut lieu),
ὃ δὲ φαίνεται	lui certes est-évident
καὶ ἐν τούτῳ	encore dans cette *guerre*
προγνοὺς τὴν δύναμιν.	ayant prévu la force *de l'État*.
Ἐπεβίω δὲ	Or il vécut-encore
δύο ἔτη καὶ ἓξ μῆνας·	deux ans et six mois ;
καὶ ἐπειδὴ ἀπέθανεν,	et après qu'il fut mort,
ἡ πρόνοια αὐτοῦ ἐς τὸν πόλεμον	la prévoyance de lui pour la guerre
ἐγνώσθη ἐπὶ πλέον ἔτι.	fut connue davantage encore.
Ὁ μὲν γὰρ ἔφη	Car lui d'une part disait
περιέσεσθαι	*eux* devoir être-supérieurs
ἡσυχάζοντάς τε	et demeurant-tranquilles,
καὶ θεραπεύοντας τὸ ναυτικὸν	et soignant la marine
καὶ μὴ ἐπικτωμένους	et n'acquérant-pas-en-plus
ἀρχὴν	de l'empire
ἐν τῷ πολέμῳ	dans (pendant) la guerre
μηδὲ κινδυνεύοντας	ni ne courant-pas-de-risque
τῇ πόλει·	*du-côté*-de la ville ;
οἱ δὲ ἔπραξάν τε	eux d'autre part et firent
πάντα ταῦτα	toutes ces choses
ἐς τὸ ἐναντίον	dans le *sens* contraire [tres
καὶ ἐπολίτευσαν ἄλλα	et *en* administrèrent (firent) d'au-
δοκοῦντα	paraissant

φιλοτιμίας καὶ ἴδια κέρδη κακῶς ἔς τε σφᾶς αὐτοὺς καὶ τοὺς ξυμμάχους ἐπολίτευσαν, ἃ κατορθούμενα μὲν τοῖς ἰδιώταις τιμὴ καὶ ὠφελία μᾶλλον ἦν, σφαλέντα δὲ τῇ πόλει ἐς τὸν πόλεμον βλάβη καθίστατο. Αἴτιον δ' ἦν ὅτι ἐκεῖνος μὲν δυνατὸς ὢν τῷ τε ἀξιώματι καὶ τῇ γνώμῃ, χρημάτων τε διαφανῶς ἀδωρότατος γενόμενος, κατεῖχε τὸ πλῆθος ἐλευθέρως, καὶ οὐκ ἤγετο μᾶλλον ὑπ' αὐτοῦ ἢ αὐτὸς ἦγε, διὰ τὸ μὴ κτώμενος ἐξ οὐ προσηκόντων τὴν δύναμιν πρὸς ἡδονήν τι λέγειν, ἀλλ' ἔχων ἐπ' ἀξιώσει καὶ πρὸς ὀργήν τι ἀντειπεῖν. Ὁπότε γοῦν αἴσθοιτό τι αὐτοὺς παρὰ καιρὸν ὕβρει θαρσοῦντας, λέγων κατέπλησσεν ἐπὶ τὸ φοβεῖσθαι, καὶ δεδιότας αὖ ἀλόγως ἀντικαθίστη πάλιν ἐπὶ τὸ θαρσεῖν· ἐγίγνετό τε λόγῳ μὲν δημοκρατία, ἔργῳ δὲ ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχή. Οἱ δὲ ὕστερον, ἴσοι αὐτοὶ μᾶλλον πρὸς ἀλλήλους

dehors de la guerre, des entreprises non moins funestes pour eux que pour leurs alliés. Les succès n'auraient tourné qu'au profit et à l'honneur de quelques individus, tandis que les revers entraînaient nécessairement la ruine de l'État. La raison en est simple. Grâce à l'élévation de son caractère, à la profondeur de ses vues, à son désintéressement sans bornes, Périclès exerçait sur Athènes un incontestable ascendant. Il restait libre tout en dirigeant la multitude. Ne devant son crédit qu'à des moyens honnêtes, il n'avait pas besoin de flatter les passions populaires; sa considération personnelle lui permettait de les braver avec autorité. Voyait-il les Athéniens se livrer à une audace intempestive, il les terrifiait par sa parole; étaient-ils abattus sans motif, il avait l'art de les ranimer. En un mot la démocratie subsistait de nom; mais en réalité c'était le gouvernement du premier citoyen. Ceux qui lui succédèrent, n'ayant pas la même

εἶναι ἔξω	être en-dehors-de (étrangères à)
τοῦ πολέμου	la guerre
κατὰ τὰς φιλοτιμίας ἰδίας	en-vue-des ambitions privées
καὶ κέρδη ἴδια	et des gains privés,
κακῶς ἔς τε σφᾶς αὐτοὺς	mal et envers eux-mêmes
καὶ τοὺς ξυμμάχους,	et envers les alliés,
ἃ κατορθούμενα μὲν	*choses* qui d'une part réussissant
ἦν μᾶλλον	étaient (auraient été) plutôt
τιμὴ καὶ ὠφελία	honneur et utilité
τοῖς ἰδιώταις,	aux particuliers,
σφαλέντα δὲ	d'autre part ayant échoué
καθίστατο	devenaient
βλάβη τῇ πόλει	un dommage *fait* à la ville
ἐς τὸν πόλεμον.	pour la guerre.
Ἦν δὲ αἴτιον,	Or *ceci en* était cause,
ὅτι ἐκεῖνος μὲν	que celui-là (Périclès) d'une part
ὢν δυνατὸς	étant puissant
τῷ τε ἀξιώματι καὶ τῇ γνώμῃ,	et par sa dignité et par sa sagesse,
γενόμενός τε διαφανῶς	et ayant été manifestement
ἀδωρότατος	le plus-incapable-de-recevoir-des-
χρημάτων,	d'argent, [présents
κατεῖχε τὸ πλῆθος	contenait la multitude
ἐλευθέρως,	par-des-moyens-libéraux,
καὶ οὐκ ἤγετο ὑπὸ αὐτοῦ	et n'était pas conduit par elle
μᾶλλον ἢ αὐτὸς ἦγε,	plus que lui-même ne *la* conduisait,
διὰ τὸ	à-cause-de ceci
μὴ λέγειν τι	ne pas dire quelque chose
πρὸς ἡδονὴν	en-vue-du plaisir *du peuple*
κτώμενος	*en* cherchant à acquérir
τὴν δύναμιν	la puissance [bles,
ἐξ οὐ προσηκόντων,	à l'aide de *moyens* non convena-
ἀλλὰ ἔχων ἐπὶ ἀξιώσει	mais pouvant à-cause-de *sa* dignité
ἀντειπεῖν τι	contredire en quelque chose
καὶ πρὸς ὀργήν.	même avec colère.
Ὁπότε γοῦν αἴσθοιτο αὐτοὺς	Quand donc il remarquait eux
θαρσοῦντάς τι	étant-audacieux en quelque chose
ὕβρει	avec insolence
παρὰ καιρὸν,	contre le temps (mal à propos),
λέγων κατέπλησσεν	en parlant il *les* abattait
ἐπὶ τὸ φοβεῖσθαι,	jusqu'à être effrayés,
καὶ αὖ	et derechef
ἀντικαθίστη πάλιν	il relevait de-nouveau
ἐπὶ τὸ θαρσεῖν	vers le avoir-confiance
δεδιότας ἀλόγως·	*eux* craignant sans-raison ;
ἐγίγνετό τε λόγῳ μὲν	et *c'*était de nom à la vérité
δημοκρατία,	une démocratie,
ἔργῳ δὲ ἀρχὴ	mais de fait une autorité-absolue
ὑπὸ τοῦ πρώτου ἀνδρός.	sous le premier homme. [près lui)
Οἱ δὲ ὕστερον,	D'autre part ceux de plus tard (d'a-
ὄντες αὐτοὶ μᾶλλον ἴσοι	étant eux-mêmes plus égaux

ὄντες, καὶ ὀρεγόμενοι τοῦ πρῶτος ἕκαστος γίγνεσθαι, ἐτράποντο καθ' ἡδονὰς τῷ δήμῳ καὶ τὰ πράγματα ἐνδιδόναι. Ἐξ ὧν ἄλλα τε πολλὰ, ὡς[1] ἐν μεγάλῃ πόλει καὶ ἀρχὴν ἐχούσῃ, ἡμαρτήθη καὶ ὁ ἐς Σικελίαν πλοῦς, ὃς οὐ τοσοῦτον γνώμης ἁμάρτημα ἦν πρὸς οὓς[2] ἐπῆσαν, ὅσον οἱ ἐκπέμψαντες[3] οὐ τὰ πρόσφορα τοῖς οἰχομένοις ἐπιγιγνώσκοντες, ἀλλὰ κατὰ τὰς ἰδίας διαβολὰς περὶ τῆς τοῦ δήμου προστασίας τά τε ἐν τῷ στρατοπέδῳ ἀμβλύτερα ἐποίουν καὶ τὰ περὶ τὴν πόλιν πρῶτον ἐν ἀλλήλοις ἐταράχθησαν. Σφαλέντες δ' ἐν Σικελίᾳ ἄλλῃ τε παρασκευῇ καὶ τοῦ ναυτικοῦ τῷ πλείονι μορίῳ, καὶ κατὰ τὴν πόλιν ἤδη ἐν στάσει ὄντες, ὅμως δέκα μὲν ἔτη ἀντεῖχον τοῖς τε πρότερον ὑπάρχουσι πολεμίοις, καὶ τοῖς ἀπὸ Σικελίας μετ' αὐτῶν, καὶ τῶν ξυμμάχων ἔτι τοῖς πλείοσιν ἀφεστηκόσι,

supériorité et aspirant tous au premier rôle, se mirent à flatter le peuple et à lui abandonner la conduite des affaires. De là toutes les fautes qu'on peut attendre d'une grande cité placée à la tête d'un empire; de là entre autres l'expédition de Sicile : elle échoua bien moins par une fausse appréciation des forces ennemies que par l'ignorance de ceux qui la décrétèrent, et qui ne fournirent pas à l'armée les moyens dont elle avait besoin. Uniquement occupés de leurs luttes d'amour-propre ou d'influence, ils paralysèrent les opérations et suscitèrent dans Athènes des discordes civiles, inconnues jusqu'alors. Cependant, même après le désastre de Sicile et l'anéantissement presque total de leur flotte, les Athéniens, tout divisés qu'ils étaient entre eux, ne laissèrent pas de résister pendant trois années à leurs anciens ennemis, renforcés par l'adjonction des Siciliens et de leurs propres sujets révoltés pour la plupart, enfin à Cyrus fils

πρὸς ἀλλήλους,	les uns envers les autres,
καὶ ὀρεγόμενοι	et ambitionnant
ἕκαστος τοῦ γίγνεσθαι πρῶτος,	chacun le devenir le premier,
ἐτράποντο	se tournèrent (en vinrent)
καὶ ἐνδιδόναι τὰ πράγματα	même à livrer les affaires
τῷ δήμῳ	au peuple
κατὰ ἡδονάς.	selon *son* plaisir.
Ἐξ ὧν	Par suite de quoi
ἄλλα τε πολλὰ	et d'autres choses nombreuses
ἡμαρτήθη,	furent faites-fautivement
ὡς	comme *il arrive*
ἐν πόλει μεγάλῃ	dans une ville grande
καὶ ἐχούσῃ ἀρχήν,	et qui a la suprématie,
καὶ ὁ πλοῦς ἐς Σικελίαν,	et l'expédition-navale en Sicile,
ὃς οὐκ ην τοσοῦτον	qui n'était pas autant
ἁμάρτημα γνώμης	une faute de jugement
πρὸς οὓς	*relativement aux forces de ceux*
ἐπῆσαν,	ils allaient [contre lesquels
ὅσον	qu'*une faute de ceux*
οἱ ἐκπέμψαντες	qui avaient envoyé
οὐκ ἐπιγιγνώσκοντες	ne connaissant pas
τὰ πρόσφορα	les choses utiles
τοῖς οἰχομένοις,	à ceux qui partaient,
ἀλλὰ	mais *qui*
κατὰ τὰς διαβολὰς ἰδίας	à-cause-de leurs inimitiés privées
περὶ τῆς προστασίας τοῦ δήμου	au-sujet-de la domination du peu-
ἐποίουν τε	et rendaient [ple
ἀμβλύτερα	plus émoussées (plus faibles)
τὰ ἐν τῷ στρατοπέδῳ,	les *opérations faites* à l'armée,
καὶ πρῶτον	et pour la-première-fois
ἐταράχθησαν ἐν ἀλλήλοις	furent agités-de-troubles entre eux
τὰ περὶ τὴν πόλιν.	dans les *affaires* concernant la ville.
Σφαλέντες δὲ ἐν Σικελίᾳ	D'autre part ayant échoué en Sicile
ἄλλῃ τε παρασκευῇ	et par le reste de *leur* appareil
καὶ τῷ πλείονι μορίῳ	et par la plus grande partie
τοῦ ναυτικοῦ,	de *leur* marine *perdue*,
καὶ ὄντες ἤδη ἐν στάσει	et étant déjà en sédition
κατὰ τὴν πόλιν,	dans la ville,
ὅμως ἀντεῖχον μὲν	cependant ils résistaient certes
τρία ἔτη	trois ans
τοῖς τε πολεμίοις	et aux ennemis
ὑπάρχουσι πρότερον	qui étaient *à eux* précédemment
καὶ τοῖς ἀπὸ Σικελίας	et à ceux *venus* de Sicile
μετὰ αὐτῶν,	avec eux (unis aux premiers),
καὶ ἔτι	et de-plus
τοῖς πλείοσι	aux plus nombreux
τῶν ξυμμάχων	de *leurs* alliés
ἀφεστηκόσιν,	qui firent-défection,
ὕστερόν τε Κύρῳ	et plus tard à Cyrus
παιδὶ βασιλέως	fils du roi

Κύρῳ τε ὕστερον βασιλέως παιδὶ προσγενομένῳ, ὃς παρεῖχε χρήματα Πελοποννησίοις ἐς τὸ ναυτικόν· καὶ οὐ πρότερον ἐνέδοσαν ἢ αὐτοὶ ἐν σφίσι κατὰ τὰς ἰδίας διαφορὰς περιπεσόντες ἐσφάλησαν. Τοσοῦτον τῷ Περικλεῖ ἐπερίσσευσε τότε ἀφ' ὧν αὐτὸς προέγνω καὶ πάνυ ἂν ῥᾳδίως περιγενέσθαι τῶν Πελοποννησίων αὐτῶν τῷ πολέμῳ.

VIII. DISCOURS DE PHORMION.

(Liv. II, § 89.)

LXXXIX. « Ὁρῶν ὑμᾶς, ὦ ἄνδρες στρατιῶται, πεφοβημένους τὸ πλῆθος τῶν ἐναντίων ξυνεκάλεσα, οὐκ ἀξιῶν τὰ μὴ δεινὰ ἐν ὀρρωδίᾳ ἔχειν. Οὗτοι γὰρ πρῶτον μὲν διὰ τὸ προνενικῆσθαι [1] καὶ μηδὲ αὐτοὶ οἴεσθαι ὁμοῖοι ἡμῖν εἶναι, τὸ πλῆθος τῶν νεῶν καὶ οὐκ ἀπὸ τοῦ ἴσου παρεσκευάσαντο· ἔπειτα ᾧ μάλιστα πιστεύοντες προσέρχονται, ὡς προσῆκον σφίσιν ἀνδρείοις εἶναι, οὐ δι' ἄλλο τι θαρσοῦσιν ἢ διὰ τὴν ἐν τῷ πεζῷ ἐμπειρίαν τὰ πλείω κατορθοῦντες, καὶ οἴονται σφίσι καὶ

du roi, qui fournit aux Péloponnésiens de l'argent pour leur marine. S'ils succombèrent, ce ne fut qu'après s'être épuisés par leurs dissensions intestines. Tant Périclès avait la parfaite intelligence des ressources d'Athènes, qui lui paraissaient assurer le triomphe facile de sa patrie sur les Péloponnésiens réduits à eux-mêmes !

VIII

LXXXIX. « Soldats, le nombre de vos ennemis, je le vois, vous inspire de l'inquiétude ; aussi vous ai-je convoqués pour dissiper une crainte mal fondée. D'abord, c'est à cause de leur première défaite et dans le sentiment de leur infériorité, qu'ils ont réuni ce grand nombre de navires, au lieu de se mesurer avec nous à forces égales. Ensuite, ce qui leur inspire cette confiance audacieuse, c'est uniquement leur habitude des combats sur terre ; comme ils y sont ordinairement vainqueurs, ils se figurent que

προσγενομένῳ,
ὃς παρεῖχε χρήματα
Πελοποννησίοις
ἐς τὸ ναυτικόν·
καὶ οὐκ ἐνέδοσαν
πρότερον ἢ αὐτοὶ
περιπεσόντες ἐν σφίσι
κατὰ τὰς διαφορὰς ἰδίας
ἐσφάλησαν.
Τοσοῦτον τότε
ἐπερίσσευσε τῷ Περικλεῖ
ἀπὸ ὧν
αὐτὸς προέγνω
περιγενέσθαι ἄν
καὶ πάνυ ῥᾳδίως
τῶν Πελοποννησίων αὐτῶν
τῷ πολέμῳ.

qui s'adjoignit *à leurs ennemis*,
lequel fournissait de l'argent
aux Péloponnésiens
pour leur marine ;
et ils ne cédèrent pas
avant que eux-mêmes
s'étant affaissés sur eux-mêmes
par-suite-de leurs différends privés
furent renversés.
Tant alors
fut-en-abondance à Périclès
de ces ressources par lesquelles
lui-même avait prévu
eux pouvoir triompher
même tout à fait facilement
des Péloponnésiens eux-mêmes
dans la guerre. [(seuls)

VIII. DISCOURS DE PHORMION.

LXXXIX. « Ὁρῶν ὑμᾶς,
ὦ ἄνδρες στρατιῶται,
πεφοβημένους τὸ πλῆθος
τῶν ἐναντίων
ξυνεκάλεσα,
οὐκ ἀξιῶν
ἔχειν ἐν ὀρρωδίᾳ
τὰ μὴ δεινά.
Οὗτοι γὰρ πρῶτον μὲν
διὰ τὸ
προνενικῆσθαι
καὶ μηδὲ οἴεσθαι αὐτοὶ
εἶναι ὁμοῖοι ἡμῖν,
παρεσκευάσαντο
τὸ πλῆθος τῶν νεῶν
καὶ οὐκ ἀπὸ τοῦ ἴσου·
ἔπειτα, ᾧ πιστεύοντες μάλιστα
προσέρχονται,
ὡς προσῆκον σφίσιν
εἶναι ἀνδρείοις,
θαρσοῦσιν
οὐ διά τι ἄλλο
ἢ κατορθοῦντες
τὰ πλείω
διὰ τὴν ἐμπειρίαν
ἐν τῷ πεζῷ,
καὶ οἴονται
ποιήσειν σφίσι

LXXXIX. « Voyant vous,
ô hommes soldats,
effrayés de la multitude
de *vos* adversaires,
je *vous* ai convoqués
ne trouvant-pas-juste
vous avoir en épouvante [bles.
les choses *qui* ne *sont* pas terri-
Car ceux-ci d'une part d'abord
à-cause-de ceci
avoir été précédemment-vaincus
et *ne pas* croire non-plus eux-mê-
être égaux à nous, [mes
ont préparé
la multitude des vaisseaux
et non d'après l'égalité *de nombre* ;
ensuite, *pour ce* en quoi se fiant le
ils s'avancent, [plus
comme appartenant à eux
d'être courageux,
ils ont-confiance *en cela*
non pour quelque autre *cause*
que réussissant
dans la plupart *des occasions*
à-cause-de leur expérience
dans le *combat* par-terre,
et ils croient *cette expérience*
devoir produire pour eux

ἐν τῷ ναυτικῷ ποιήσειν τὸ αὐτό. Τὸ δ' ἐκ τοῦ δικαίου ἡμῖν μᾶλλον νῦν περιέσται, εἴπερ καὶ τούτοις ἐν ἐκείνῳ, ἐπεὶ εὐψυχίᾳ γε οὐδὲν προφέρουσι, τῷ δὲ ἑκάτεροι ἐμπειρότεροι εἶναι θρασύτεροί ἐσμεν. Λακεδαιμόνιοί τε ἡγούμενοι τῶν ξυμμάχων διὰ τὴν σφετέραν δόξαν ἄκοντας προσάγουσι τοὺς πολλοὺς ἐς τὸν κίνδυνον, ἐπεὶ οὐκ ἄν ποτε ἐπεχείρησαν ἡσσηθέντες παρὰ πολὺ αὖθις ναυμαχεῖν. Μὴ δὴ αὐτῶν τὴν τόλμαν δείσητε. Πολὺ δὲ ὑμεῖς ἐκείνοις πλέω φόβον παρέχετε καὶ πιστότερον κατά τε τὸ προνενικηκέναι καὶ ὅτι οὐκ ἂν ἡγοῦνται μὴ μέλλοντάς τι ἄξιον τοῦ παρὰ πολὺ πράξειν ἀνθίστασθαι ἡμᾶς. Ἀντίπαλοι μὲν γὰρ οἱ πλείους, ὥσπερ οὗτοι, τῇ δυνάμει τὸ πλέον πίσυνοι ἢ τῇ γνώμῃ ἐπέρχονται· οἱ δ' ἐκ πολλῷ ὑποδεεστέρων καὶ ἅμα οὐκ ἀναγκαζόμενοι, μέγα τι τῆς διανοίας τὸ βέβαιον ἔχοντες ἀντιτολμῶσιν. Ἃ λογιζόμενοι

sur mer il en sera de même. Mais ici c'est à nous qu'appartient l'avantage, s'il est vrai que sur terre il leur soit acquis. Nous ne leur cédons point en bravoure, et l'audace est toujours en proportion de l'expérience. Les Lacédémoniens, qui n'ont en vue que leur propre gloire, mènent au combat leurs alliés pour la plupart malgré eux. Autrement ils ne reviendraient pas d'eux-mêmes à la charge après une si rude défaite. Ne redoutez point leur valeur. C'est vous qui leur inspirez une terreur bien plus forte et plus motivée, soit à cause de votre première victoire, soit par la pensée que vous n'accepteriez pas la bataille si vous n'étiez résolus à montrer un courage qui compense l'infériorité du nombre. A la guerre, on cherche communément à s'assurer l'avantage du nombre plutôt que de la valeur. Il n'y a que les braves qui, malgré leur infériorité numérique, résistent sans y être forcés. Cette remarque n'échappe point à nos adversaires.

τὸ αὐτὸ
καὶ ἐν τῷ ναυτικῷ.
Τὸ δὲ περιέσται
ἡμῖν μᾶλλον νῦν
ἐκ τοῦ δικαίου,
εἴπερ καὶ τούτοις
ἐν ἐκείνῳ,
ἐπεὶ προφέρουσιν οὐδὲν
εὐψυχίᾳ γε,
ἐσμὲν δὲ
θρασύτεροι
ἑκάτεροι
τῷ εἶναι ἐμπειρότεροι.
Λακεδαιμόνιοί τε
ἡγούμενοι τῶν ξυμμάχων
διὰ τὴν σφέτεραν δόξαν
προσάγουσιν
ἐς τὸν κίνδυνον,
τοὺς πολλοὺς ἄκοντας,
ἐπεὶ ἡσσηθέντες
παρὰ πολὺ
οὔ ποτε ἐπεχείρησαν ἂν
ναυμαχεῖν αὖθις.
Μὴ δὴ δείσητε
τὴν τόλμαν αὐτῶν.
Ὑμεῖς δὲ παρέχετε ἐκείνοις
φόβον πολὺ πλέω
καὶ πιστότερον,
κατά τε τὸ
προνενικηκέναι
καὶ ὅτι οὐχ ἡγοῦνται
ἡμᾶς ἀνθίστασθαι ἄν,
μὴ μέλλοντας πράξειν
τι ἄξιον
τοῦ παρὰ πολύ.
Οἱ μὲν γὰρ πλείους
ἀντίπαλοι
ἐπέρχονται,
ὥσπερ οὗτοι,
πίσυνοι τῇ δυνάμει
τὸ πλέον ἢ τῇ γνώμῃ·
οἱ δὲ
ἐκ πολλῷ ὑποδεεστέρων,
καὶ ἅμα
οὐκ ἀναγκαζόμενοι,
ἔχοντές
τι μέγα
τὸ βέβαιον τῆς διανοίας
ἀντιτολμῶσιν.
Ἃ λογιζόμενοι

le même *effet*
même dans le *combat* naval. [plus
Mais ceci (cet avantage) sera-en-
à nous plutôt maintenant
d'après la justice,
s'il *est* aussi à ceux-ci
dans cela (dans le combat de terre),
puisqu'ils ne sont-supérieurs en
par le courage du moins, [rien
mais *que* nous sommes
plus hardis *dans notre élément*
les-uns-et-les-autres
par le être plus expérimentés.
Et les Lacédémoniens
commandant leurs alliés
en-vue-de leur propre gloire,
les amènent
au danger,
la plupart malgré-eux,
puisque ayant été vaincus
de beaucoup [sayé
jamais ils (les alliés) n'auraient es-
de combattre-sur-mer de-nou-
Ne craignez donc pas [veau.
l'audace d'eux.
Mais vous, vous causez à eux
une crainte beaucoup plus grande
et plus fondée,
et à-cause du
avoir vaincu-précédemment
et parce qu'ils ne pensent pas
nous devoir résister, [faire
ne devant (si nous ne devions) pas
quelque chose de digne
du *être inférieurs* de beaucoup.
Car d'un côté la plupart
étant ennemis
marchent-contre *l'ennemi*,
comme ceux-ci,
confiants en leur force [rage);
plus qu'en leur sentiment (cou-
mais ceux *qui marchent contre lui*
avec *des moyens* beaucoup plus
et en-même-temps [faibles
n'étant pas forcés,
ayant [point élevé)
en quelque-chose de grand (à un
la fermeté de la résolution
osent-résister.
Choses auxquelles réfléchissant

οὗτοι τῷ οὐκ εἰκότι πλέον πεφόβηνται ἡμᾶς ἢ τῇ κατὰ λόγον παρασκευῇ. Πολλὰ δὲ καὶ στρατόπεδα ἤδη ἔπεσεν ὑπ' ἐλασσόνων τῇ ἀπειρίᾳ, ἔστι δὲ ἃ καὶ τῇ ἀτολμίᾳ· ὧν οὐδετέρου ἡμεῖς νῦν μετέχομεν.

« Τὸν δὲ ἀγῶνα οὐκ ἐν τῷ κόλπῳ[1] ἐκὼν εἶναι ποιήσομαι οὐδ' ἐσπλεύσομαι ἐς αὐτόν. Ὁρῶ γὰρ ὅτι πρὸς πολλὰς ναῦς ἀνεπιστήμονας ὀλίγαις ναυσὶν ἐμπείροις καὶ ἄμεινον πλεούσαις ἡ στενοχωρία οὐ ξυμφέρει. Οὔτε γὰρ ἂν ἐπιπλεύσειέ τις ὡς χρὴ ἐς ἐμβολὴν μὴ ἔχων τὴν πρόσοψιν τῶν πολεμίων ἐκ πολλοῦ, οὔτε ἂν ἀποχωρήσειεν ἐν δέοντι πιεζόμενος· διέκπλοι τε οὐκ εἰσὶν οὐδὲ ἀναστροφαὶ[2], ἅπερ νεῶν ἄμεινον πλεουσῶν ἔργα ἐστίν, ἀλλ' ἀνάγκη ἂν εἴη τὴν ναυμαχίαν πεζομαχίαν καθίστασθαι, καὶ ἐν τούτῳ αἱ πλείους νῆες κρείσσους γίγνονται. Τούτων μὲν οὖν ἐγὼ ἕξω τὴν πρόνοιαν κατὰ τὸ δυνατόν·

Ils sont plus effrayés de notre attitude imprévue qu'ils ne le seraient d'un armement moins disproportionné. Que de fois n'a-t-on pas vu des armées plier devant des forces comparativement moindres, par défaut de tactique ou de valeur! A ce double égard, nous sommes sans inquiétude.

« A moins d'absolue nécessité, je n'engagerai pas le combat dans le golfe; je me garderai même d'y entrer. A des vaisseaux peu nombreux, mais exercés et agiles, ayant affaire à une flotte considérable et peu habile à la manœuvre, une mer rétrécie n'est pas ce qui convient. Faute d'espace et de perspective, on ne peut ni heurter de l'avant, ni reculer à propos si l'on est serré de trop près, ni faire des trouées ou virer de bord, évolutions qui supposent des vaisseaux fins marcheurs. Le combat naval se transforme alors en une lutte de pied ferme; et, dans ce cas, l'avantage est au plus grand nombre. C'est mon affaire à moi d'y pourvoir autant que possible. Quant à vous, demeurez

οὗτοι πεφόβηνται ἡμᾶς
τῷ οὐκ εἰκότι
πλέον ἢ
τῇ παρασκευῇ
κατὰ λόγον.
Πολλὰ δὲ καὶ στρατόπεδα
ἔπεσεν ἤδη
ὑπὸ ἐλασσόνων
τῇ ἀπειρίᾳ,
ἔστι δὲ καὶ
ἃ
τῇ ἀτολμίᾳ·
ὧν ἡμεῖς νῦν
μετέχομεν
οὐδετέρου.
« Οὐ ποιήσομαι δὲ
εἶναι ἑκὼν
τὸν ἀγῶνα ἐν τῷ κόλπῳ
οὐδὲ ἐσπλεύσομαι
ἐς αὐτόν.
Ὁρῶ γὰρ
ὅτι ἡ στενοχωρία
οὐ ξυμφέρει
ναυσὶν ὀλίγαις
ἐμπείροις καὶ πλεούσαις ἄμεινον
πρὸς πολλὰς ναῦς
ἀνεπιστήμονας.
Οὔτε γάρ τις
ἐπιπλεύσειε
ὡς χρὴ ἐς ἐμβολὴν
μὴ ἔχων ἐκ πολλοῦ,
τὴν πρόσοψιν τῶν πολεμίων,
οὔτε ἀποχωρήσειεν ἂν
ἐν δέοντι
πιεζόμενος·
διέκπλοι τε
οὐκ εἰσίν,
οὐδὲ ἀναστροφαί,
ἅπερ ἐστὶν ἔργα
νεῶν πλεουσῶν ἄμεινον,
ἀλλὰ ἀνάγκη εἴη ἂν
τὴν ναυμαχίαν
καθίστασθαι πεζομαχίαν,
καὶ ἐν τούτῳ
αἱ νῆες πλείους
γίγνονται κρείσσους.
Ἐγὼ μὲν οὖν ἔξω
τὴν πρόνοιαν τούτων
κατὰ τὸ δυνατόν·
ὑμεῖς δὲ

ceux-ci redoutent nous [*solution*
par l'invraisemblance *de notre ré-*
plus qu'ils ne *le feraient*
d'après les préparatifs
selon la proportion.
D'ailleurs beaucoup d'armées aussi
sont tombées déjà
sous de moins-nombreuses
par l'inexpérience,
d'autre part il *en* est aussi
qui *sont tombées*
par le manque-de-courage;
desquels *vices* nous à-présent
nous ne participons
ni-à-l'un-ni-à-l'autre.
« D'ailleurs je ne ferai pas
agissant de-mon-gré
le combat dans le golfe, [viguant
et je n'entrerai-même-pas-en-na-
dans celui-ci.
Car je vois
que la place-resserrée
n'est-pas-avantageuse
à des vaisseaux en-petit-nombre
expérimentés et naviguant mieux
contre de nombreux vaisseaux
inhabiles.
Car ni quelqu'un
ne pourrait-naviguer-contre *eux*
comme il faut pour le choc
n'ayant pas de loin
la vue des ennemis,
ni il ne pourrait se retirer
en *temps* convenable
étant pressé; [*ennemie*
et des passages-à-travers *la flotte*
ne sont pas *possibles*,
ni des retours,
choses qui sont manœuvres
de vaisseaux qui naviguent mieux,
mais nécessité serait
le combat-naval
devenir combat-de-terre,
et en cela
les vaisseaux plus nombreux
deviennent les plus forts.
Moi d'une part donc j'aurai
la prévoyance de ces choses
selon le possible,
vous d'autre part

ὑμεῖς δὲ εὔταχτοι [παρὰ ταῖς τε ναυσὶ[1]] μένοντες τά τε παραγγελλόμενα ὀξέως δέχεσθε, ἄλλως τε καὶ ὀι' ὀλίγου τῆς ἐφορμήσεως οὔσης, καὶ ἐν τῷ ἔργῳ κόσμον καὶ σιγὴν περὶ πλείστου ἡγεῖσθε, ὃ ἔς τε τὰ πολλὰ τῶν πολεμικῶν ξυμφέρει καὶ ναυμαχίᾳ οὐχ ἥκιστα, ἀμύνασθε δὲ τούσδε ἀξίως τῶν προειργασμένων. Ὁ δὲ ἀγὼν μέγας ὑμῖν, ἢ καταλῦσαι Πελοποννησίων τὴν ἐλπίδα τοῦ ναυτικοῦ ἢ ἐγγυτέρω καταστῆσαι Ἀθηναίοις τὸν φόβον περὶ τῆς θαλάσσης. Ἀναμιμνήσκω δ' αὖ ὑμᾶς ὅτι νενικήκατε αὐτῶν τοὺς πολλούς. Ἡσσημένων δὲ ἀνδρῶν οὐκ ἐθέλουσιν αἱ γνῶμαι πρὸς τοὺς αὐτοὺς κινδύνους ὁμοῖαι εἶναι. »

IX. ÉPISODE DU SIÈGE DE PLATÉE.

(Liv. III, §§ 20-24.)

XX. Τοῦ δ' αὐτοῦ χειμῶνος[2] οἱ Πλαταιῆς (ἔτι γὰρ ἐπολιορκοῦντο ὑπὸ τῶν Πελοποννησίων καὶ Βοιωτῶν) ἐπειδὴ τῷ τε σιτῷ ἐπιλιπόντι ἐπιέζοντο καὶ ἀπὸ τῶν Ἀθηνῶν οὐδεμία ἐλπὶς ἦν τιμωρίας οὐδὲ ἄλλη σωτηρία ἐφαίνετο,

en bon ordre, chacun à son bord. Soyez attentifs à saisir les commandements; cela est d'autant plus nécessaire que l'ennemi est plus rapproché. Observez dans l'action la discipline et le silence; rien n'est plus essentiel dans les batailles, surtout navales. Enfin montrez-vous dignes de vos précédents exploits. Le moment est décisif: il s'agit ou de ravir aux Péloponnésiens toute espérance maritime ou de faire craindre aux Athéniens la perte prochaine de leur empire sur la mer. Encore un coup, je vous rappelle que vous avez déjà battu la plupart de ceux que vous allez combattre; or des vaincus n'affrontent pas deux fois de suite avec une ardeur égale les mêmes dangers. »

IX

XX. Le même hiver, les Platéens, toujours assiégés par les Péloponnésiens et par les Béotiens, pressés d'ailleurs par la famine et sans espoir de secours ni d'Athènes ni d'autre part, for-

μένοντες εὔταχτοι	restant en-bon-ordre
παρὰ ταῖς ναυσὶ	auprès des vaisseaux
δέχεσθέ τε ὀξέως	et recevez attentivement
τὰ παραγγελλόμενα,	les commandements,
ἄλλως τε καὶ	et autrement encore (surtout)
τῆς ἐφορμήσεως	l'attaque
οὔσης διὰ ὀλίγου,	ayant-lieu à peu de *distance*,
καὶ ἐν τῷ ἔργῳ	et dans l'action
ἡγεῖσθε περὶ πλείστου	estimez au plus haut *prix*
κόσμον καὶ σιγὴν,	l'ordre et le silence,
ὃ ξυμφέρει	*ce* qui est-utile
ἔς τε τὰ πολλὰ	et pour la plupart
τῶν πολεμικῶν,	des *actions* de-la-guerre,
καὶ οὐχ ἥκιστα	et non le moins
ναυμαχίᾳ,	dans un combat-naval,
ἀμύνασθε δὲ τούσδε	et repoussez ceux-ci (les ennemis)
ἀξίως	d'une-manière-digne
τῶν προειργασμένων.	des choses faites-précédemment.
Ὁ δὲ ἀγὼν	Or l'objet-de-la-lutte
μέγας ὑμῖν,	*est* grand pour vous,
ἢ καταλῦσαι τὴν ἐλπίδα	ou détruire l'espérance
Πελοποννησίων	des Péloponnésiens
τοῦ ναυτικοῦ,	de (en) la marine,
ἢ καταστῆσαι ἐγγυτέρω	ou mettre plus près
Ἀθηναίοις	aux Athéniens
τὸν φόβον περὶ τῆς θαλάσσης.	la crainte au sujet de la mer.
Ἀναμιμνήσκω δὲ αὖ	D'ailleurs je rappelle de-nouveau
ὑμᾶς	à vous
ὅτι νενικήκατε	que vous avez vaincu
τοὺς πολλοὺς αὐτῶν.	la plupart d'entre eux.
Αἱ δὲ γνῶμαι	Or les sentiments
ἀνδρῶν ἡσσημένων	d'hommes vaincus
οὐκ ἐθέλουσιν εἶναι ὁμοῖαι	n'ont-pas-coutume d'être les mê-
πρὸς τοὺς αὐτοὺς κινδύνους. »	contre les mêmes dangers. » [me

IX. ÉPISODE DU SIÈGE DE PLATÉE.

XX. Τοῦ δὲ αὐτοῦ χειμῶνος	XX. Or le même hiver
οἱ Πλαταιῆς	les Platéens
(ἐπολιορκοῦντο γὰρ ἔτι	(car ils étaient assiégés encore
ὑπὸ τῶν Πελοποννησίων	par les Péloponnésiens
καὶ Βοιωτῶν),	et par les Béotiens),
ἐπειδὴ ἐπιέζοντο	comme ils étaient pressés
τῷ τε σίτῳ ἐπιλιπόντι,	et par le blé ayant manqué,
καὶ οὐδεμία ἐλπὶς τιμωρίας	et *que* nul espoir de vengeance
ἦν ἀπὸ τῶν Ἀθηνῶν	n'était de-la-part d'Athènes
οὐδὲ ἄλλη σωτηρία	ni *qu'*un autre salut
ἐφαίνετο,	n'était montré,

ἐπιβουλεύουσιν αὐτοί τε καὶ Ἀθηναίων οἱ ξυμπολιορκούμενοι πρῶτον μὲν πάντες ἐξελθεῖν καὶ ὑπερβῆναι τὰ τείχη [1] τῶν πολεμίων, ἢν δύνωνται βιάσασθαι, ἐσηγησαμένου τὴν πεῖραν αὐτοῖς Θεαινέτου τε τοῦ Τολμίδου, ἀνδρὸς μάντεως, καὶ Εὐπομπίδου τοῦ Δαϊμάχου, ὃς καὶ ἐστρατήγει· ἔπειτα οἱ μὲν ἡμίσεις ἀπώκνησάν πως τὸν κίνδυνον μέγαν ἡγησάμενοι, ἐς δὲ ἄνδρας διακοσίους καὶ εἴκοσι μάλιστα ἐνέμειναν τῇ ἐξόδῳ ἐθελονταὶ τρόπῳ τοιῷδε. Κλίμακας ἐποιήσαντο ἴσας τῷ τείχει τῶν πολεμίων· ξυνεμετρήσαντο δὲ ταῖς ἐπιβολαῖς τῶν πλίνθων, ἥ ἔτυχε πρὸς σφᾶς οὐκ ἐξαληλιμμένον [2] τὸ τεῖχος αὐτῶν· ἠριθμοῦντο δὲ πολλοὶ ἅμα τὰς ἐπιβολὰς καὶ ἔμελλον οἱ μέν τινες ἁμαρτήσεσθαι, οἱ δὲ πλείους τεύξεσθαι τοῦ ἀληθοῦς λογισμοῦ, ἄλλως τε καὶ πολλάκις ἀριθμοῦντες καὶ ἅμα οὐ πολὺ ἀπέχοντες, ἀλλὰ ῥᾳδίως καθορωμένου ἐς ὃ

mèrent, de concert avec les Athéniens enfermés dans Platée, le projet de sortir tous ensemble en franchissant de force, s'il était possible, la muraille des ennemis. Ce plan fut conçu par le devin Théénétos, fils de Tolmidas, et par le général Eupompidas, fils de Daïmachos. Plus tard la moitié d'entre eux y renoncèrent, intimidés par la grandeur du danger. Deux cent vingt volontaires persistèrent seuls dans ce projet d'évasion, qu'ils exécutèrent de la manière suivante. Ils firent des échelles de la hauteur du mur obsidional. La mesure en fut prise d'après le nombre des couches de briques placées dans la partie qui les regardait, et qu'on avait négligé de crépir. Plusieurs à la fois comptaient ces couches; si quelques-uns se trompaient, la plupart devaient rencontrer juste. D'ailleurs ils répétaient souvent l'opération, et la distance n'était pas si grande qu'on ne pût apercevoir distinctement

ἐπιβουλεύουσιν	méditent
αὐτοί τε	et eux-mêmes
καὶ οἱ Ἀθηναίων	et ceux des Athéniens
ξυμπολιορκούμενοι	assiégés-avec *eux*
πρῶτον μὲν ἐξελθεῖν πάντες	d'abord certes de sortir tous
καὶ ὑπερβῆναι	et de franchir [nemis,
τὰ τείχη τῶν πολεμίων,	les murs *d'investissement* des en-
ἢν δύνωνται βιάσασθαι,	s'ils peuvent *les* forcer,
Θεαινέτου τε	et Théénétos,
τοῦ Τολμίδου,	le *fils* de Tolmidas,
ἀνδρὸς μάντεως,	homme devin,
καὶ Εὐπομπίδου	et Eupompidas
τοῦ Δαϊμάχου,	le *fils* de Daïmachos,
ὃς καὶ ἐστρατήγει,	qui aussi était-stratège,
ἐσηγησαμένου αὐτοῖς	ayant conseillé à eux
τὴν πεῖραν·	cette tentative ;
ἔπειτα οἱ μὲν	ensuite ceux d'une part
ἡμίσεις	formant-la-moitié [manière
ἀπώκνησάν πως	reculèrent-par-peur en-quelque
ἡγησάμενοι τὸν κίνδυνον	ayant estimé le danger
μέγαν,	grand,
ἐς δὲ διακοσίους	d'autre part jusqu'à deux-cents
καὶ εἴκοσιν ἄνδρας	et vingt hommes
μάλιστα	environ
ἐνέμειναν ἑθελονταὶ	ils persistèrent volontaires
τῇ ἐξόδῳ	dans la sortie
τοιῷδε τρόπῳ.	*qu'ils firent* de cette manière-ci.
Ἐποιήσαντο κλίμακας	Ils se firent des échelles
ἴσας τῷ τείχει	égales *en hauteur* au mur
τῶν πολεμίων·	des ennemis ;
ξυνεμετρήσαντο δὲ	or ils *en* avaient mesuré *la hauteur*
ταῖς ἐπιβολαῖς τῶν πλίνθων,	d'après les rangées des briques,
ᾗ	*dans la partie* où
τὸ τεῖχος αὐτῶν	le mur d'eux (des assiégeants)
οὐκ ἐξαλῃλιμμένον	n'ayant pas été crépi
ἔτυχε πρὸς σφᾶς·	se trouva en-face-d'eux-mêmes ;
πολλοὶ δὲ ἠριθμοῦντο	or beaucoup comptaient
ἅμα	en-même-temps
τὰς ἐπιβολὰς	les rangées [ques-uns
καὶ οἱ μέν τινες	et les uns *qui n'étaient que* quel-
ἔμελλον ἁμαρτήσεσθαι,	devaient se tromper,
οἱ δὲ πλείους	les autres plus nombreux
τεύξεσθαι τοῦ λογισμοῦ	trouver le compte
ἀληθοῦς,	vrai,
ἄλλως τε καὶ	et d'ailleurs aussi (surtout)
ἀριθμοῦντες πολλάκις	comptant plusieurs-fois
καὶ ἅμα	et en-même-temps
οὐκ ἀπέχοντες πολύ,	n'étant pas éloignés beaucoup,
ἀλλὰ τοῦ τείχους	mais le mur (la partie du mur)
εἰς ὃ ἐβούλοντο	vers lequel ils voulaient *regarder*

ἐβούλοντο τοῦ τείχους. Τὴν μὲν οὖν ξυμμέτρησιν τῶν κλιμάκων οὕτως ἔλαβον, ἐκ τοῦ πάχους τῆς πλίνθου εἰκάσαντες τὸ μέτρον.

XXI. Τὸ δὲ τεῖχος ἦν τῶν Πελοποννησίων τοιόνδε τῇ οἰκοδομήσει· εἶχε μὲν δύο τοὺς περιβόλους, πρός τε Πλαταιῶν καὶ εἴ τις ἔξωθεν ἀπ' Ἀθηνῶν ἐπίοι, διεῖχον δὲ οἱ περίβολοι ἐκκαίδεκα πόδας μάλιστα ἀπ' ἀλλήλων. Τὸ οὖν μεταξὺ τοῦτο [οἱ ἐκκαίδεκα πόδες] τοῖς φύλαξιν οἰκήματα διανενεμημένα ᾠκοδόμητο, καὶ ἦν ξυνεχῆ, ὥστε ἐν φαίνεσθαι τεῖχος παχύ, ἐπάλξεις ἔχον ἀμφοτέρωθεν. Διὰ δέκα δὲ ἐπάλξεων πύργοι ἦσαν μεγάλοι καὶ ἰσοπλατεῖς τῷ τείχει, διήκοντες ἔς τε τὸ ἔσω μέτωπον αὐτοῦ οἱ αὐτοὶ καὶ τὸ ἔξω, ὥστε πάροδον μὴ εἶναι παρὰ πύργον, ἀλλὰ δι' αὐτῶν μέσων διῆσαν. Τὰς οὖν νύκτας, ὁπότε χειμὼν εἴη νοτερὸς, τὰς μὲν ἐπάλξεις ἀπέλειπον, ἐκ δὲ τῶν πύργων, ὄντων δι' ὀλίγου καὶ

la partie du mur qu'il s'agissait d'examiner. C'est ainsi qu'ils mesurèrent la hauteur des échelles, en la calculant d'après l'épaisseur d'une brique.

XXI. La circonvallation consistait en une double enceinte. L'une de ses faces regardait Platée, l'autre était tournée vers l'extérieur pour s'opposer aux secours qui pouvaient venir d'Athènes. Entre les deux revers s'étendait un espace de seize pieds, distribué en logements pour l'armée de siège. Ces logements étaient contigus, de telle sorte que le tout ensemble présentait l'apparence d'un gros mur unique, crénelé des deux côtés. De dix en dix créneaux s'élevaient de grandes tours, d'une largeur égale à celle du mur et occupant tout l'intervalle compris entre les deux faces. On n'avait point réservé de chemin de ronde en dehors des tours; celles-ci communiquaient par des ouvertures pratiquées dans leur centre. La nuit, par les temps pluvieux, les sentinelles abandonnaient la garde des créneaux et se retiraient dans les tours, qui étaient couvertes

καθορωμένου ῥᾳδίως.
Ἔλαβον μὲν οὖν οὕτως
τὴν ξυμμέτρησιν
τῶν κλιμάκων,
εἰκάσαντες τὸ μέτρον
ἐκ τοῦ πάχους
τῆς πλίνθου.
XXI. Τὸ δὲ τεῖχος
τῶν Πελοποννησίων
ἦν τοιόνδε
τῇ οἰκοδομήσει·
εἶχε μὲν τοὺς περιβόλους
δύο,
πρός τε Πλαταιῶν
καὶ εἴ τις ἐπίοι ἔξωθεν
ἀπὸ Ἀθηνῶν,
οἱ δὲ περίβολοι
διεῖχον ἀπὸ ἀλλήλων
ἑκκαίδεκα πόδας μάλιστα.
Τοῦτο οὖν τὸ μεταξὺ
[οἱ ἑκκαίδεκα πόδες]
ᾠκοδόμητο,
οἰκήματα
διανεμεμημένα τοῖς φυλάξιν,
καὶ ἦν ξυνεχῆ,
ὥστε ἓν τεῖχος παχὺ
φαίνεσθαι,
ἔχον ἐπάλξεις
ἀμφοτέρωθεν·
Πύργοι δὲ μέγαλοι
καὶ ἰσοπλατεῖς τῷ τείχει
ἦσαν
διὰ δέκα
~~σταδίων~~, Σταλξεινι
οἱ αὐτοὶ διήκοντες
ἔς τε τὸ μέτωπον ἔσω
αὐτοῦ
καὶ τὸ ἔξω,
ὥστε πάροδον μὴ εἶναι
περὶ πύργον,
ἀλλὰ διῆσαν
διὰ αὐτῶν μέσων.
Τὰς οὖν νύκτας,
ὁπότε χείμων
εἴη νοτερός,
ἀπέλειπον μὲν
τὰς ἐπάλξεις,
ἐποιοῦντο δὲ τὴν φυλακὴν
ἐκ τῶν πύργων
ὄντων διὰ ὀλίγου

étant aperçue facilement.
D'une part donc ils prirent ainsi
la proportion-exacte
des échelles,
ayant conjecturé la mesure
d'après la grosseur
de la brique (des briques).
XXI. Or le mur
des Péloponnésiens
était tel
par la construction :
d'une part il avait ses enceintes
au nombre de deux,
et-du côté des Platéens
et si quelqu'un attaquait du-dehors
du-côté-d'Athènes,
d'autre part ces enceintes
étaient séparées l'une de l'autre
de seize pieds environ.
Or donc cet intervalle
[ces seize pieds]
avait été bâti,
logements (en logements)
distribués aux gardes,
et ils étaient contigus,
de-sorte-qu'un seul mur épais
se montrer,
ayant des créneaux
des-deux-côtés.
D'autre part des tours grandes
et égales-en-largeur au mur
étaient
par dix (de dix en dix)
~~stades~~, σταδιαιας
ces mêmes *tours* s'étendant
et vers la face à-l'-intérieur
de lui (du mur),
et vers celle à-l'-extérieur,
de sorte-que passage n'être pas
autour d'une tour,
mais on passait [d'elles).
par elles au-milieu (par le milieu
Pendant donc les nuits,
lorsque le temps-d'-hiver
était pluvieux,
d'une part ils abandonnaient
les créneaux,
d'autre part ils faisaient la garde
du *haut* des tours
étant à petite *distance*

ἄνωθεν στεγανῶν, τὴν φυλακὴν ἐποιοῦντο. Τὸ μὲν οὖν τεῖχος ᾧ περιεφρουροῦντο οἱ Πλαταιῆς τοιοῦτον ἦν.

XXII. Οἱ δ', ἐπειδὴ παρεσκεύαστο[1] αὐτοῖς, τηρήσαντες νύκτα χειμέριον ὕδατι καὶ ἀνέμῳ καὶ ἅμα ἀσέληνον, ἐξῆσαν· ἡγοῦντο δὲ οἵπερ καὶ τῆς πείρας αἴτιοι ἦσαν. Καὶ πρῶτον μὲν τὴν τάφρον διέβησαν ἣ περιεῖχεν αὐτοὺς, ἔπειτα προσέμιξαν τῷ τείχει τῶν πολεμίων λαθόντες τοὺς φύλακας, ἀνὰ τὸ σκοτεινὸν μὲν οὐ προϊδόντων αὐτῶν, ψόφῳ δὲ τῷ ἐκ τοῦ προσιέναι αὐτοὺς ἀντιπαταγοῦντος τοῦ ἀνέμου οὐ κατακουσάντων· ἅμα δὲ καὶ διέχοντες πολὺ ἦσαν, ὅπως τὰ ὅπλα μὴ κρουόμενα πρὸς ἄλληλα αἴσθησιν παρέχοι. Ἦσαν δὲ εὐσταλεῖς τε τῇ ὁπλίσει καὶ τὸν ἀριστερὸν πόδα μόνον ὑποδεδεμένοι ἀσφαλείας ἕνεκα τῆς πρὸς τὸν πηλόν[2]. Κατὰ οὖν μεταπύργιον προσέμισγον πρὸς τὰς ἐπάλξεις, εἰδότες ὅτι ἐρῆμοί εἰσι, πρῶτον μὲν οἱ τὰς κλίμακας φέροντες, καὶ προσέθεσαν· ἔπειτα ψιλοὶ δώδεκα ξὺν ξιφιδίῳ καὶ θώρακι ἀνέβαινον, ὧν ἡγεῖτο

et peu distantes l'une de l'autre. Telle était la circonvallation de Platée.

XXII. Quand tout fut prêt, les assiégés attendirent une nuit orageuse, où la pluie, le vent et l'absence de lune favorisassent leur évasion. A la tête marchaient les auteurs de l'entreprise. Ils franchirent premièrement le fossé qui les environnait ; puis ils atteignirent la circonvallation, sans être découverts par les sentinelles, qui ne pouvaient les apercevoir dans les ténèbres, ni les entendre à cause des mugissements du vent. D'ailleurs ils marchaient fort écartés les uns des autres, de peur que le choc de leurs armes ne les trahît. Ils étaient lestement équipés, et chaussés du pied gauche seulement, pour affermir leurs pas dans la glaise. Ils se dirigèrent vers une des courtines crénelées qui séparaient les tours et qu'ils savaient n'être pas gardées. D'abord ceux qui portaient les échelles les dressèrent contre la muraille ; ensuite montèrent douze hommes armés à la légère,

καὶ στεγανῶν ἄνωθεν.
Τὸ μὲν οὖν τεῖχος
ᾧ οἱ Πλαταιῆς
περιεφρουροῦντο
ἦν τοιοῦτον.
XXII. Οἱ δὲ,
ἐπειδὴ παρεσκεύαστο αὐτοῖς,
τηρήσαντες νύκτα
χειμέριον ὕδατι καὶ ἀνέμῳ
καὶ ἅμα ἀσέληνον,
ἐξῆσαν·
οἵπερ δὲ ἦσαν
καὶ αἴτιοι τῆς πείρας
ἡγοῦντο.
Καὶ πρῶτον μὲν
διέβησαν τὴν τάφρον
ἣ περιεῖχεν αὐτούς,
ἔπειτα προσέμιξαν
τῷ τείχει τῶν πολεμίων
λαθόντες τοὺς φύλακας,
αὐτῶν
οὐ προϊδόντων μὲν
ἀνὰ τὸ σκοτεινόν,
οὐ κατακουσάντων δὲ
τοῦ ἀνέμου ἀντιπαταγοῦντος
ψόφῳ
τῷ ἐκ τοῦ αὐτοὺς προσιέναι·
ἅμα δὲ καὶ
ἦσαν πολὺ διέχοντες,
ὅπως τὰ ὅπλα
μὴ κρουόμενα
πρὸς ἄλληλα
παρέχοι αἴσθησιν.
Ἦσαν δὲ
εὐσταλεῖς τε τῇ ὁπλίσει
καὶ ὑποδεδεμένοι
τὸν πόδα ἀρίστερον μόνον
ἕνεκα ἀσφαλείας
τῆς πρὸς τὸν πηλόν.
Προσέμισγον οὖν
κατὰ μεταπύργιον
πρὸς τὰς ἐπάλξεις,
εἰδότες ὅτι εἰσὶν ἐρῆμοι,
πρῶτον μὲν
οἱ φέροντες τὰς κλίμακας,
καὶ προσέθεσαν·
ἔπειτα δώδεκα ψιλοὶ
σὺν ξιφιδίῳ καὶ θώρακι
ἀνέβαινον,
ὧν ἦγεῖτο

et couvertes en-haut.
D'une part donc le mur
par lequel les Platéens
étaient investis
était tel.
XXII. Or ceux-ci,
après que *tout* fut préparé par eux,
ayant épié une nuit
orageuse par l'eau et le vent
et en-même-temps sans-lune
sortirent ;
et ceux qui étaient
aussi les auteurs de la tentative
les commandaient.
Et d'une part d'abord
ils franchirent le fossé
qui entourait eux,
puis ils s'approchèrent
du mur des ennemis [sentinelles,
ayant échappé-aux-regards des
eux (les assiégeants) [part
n'ayant pas vu-devant *eux* d'une
par l'obscurité,
d'autre part n'ayant pas entendu
le vent couvrant-de-son-bruit
le bruit
celui résultant du *eux* s'approcher ;
et en-même-temps aussi
ils marchaient fort écartés,
afin que leurs armes
n'étant pas choquées
les unes contre les autres [*chose*.
ne donnassent *pas* sensation *de la*
D'autre part ils étaient
et lestes par leur armure
et chaussés
du pied gauche seul
par précaution
celle contre la boue.
Ils s'approchaient donc
par l'intervalle-entre-les-tours
vers les créneaux,
sachant qu'ils sont abandonnés,
d'une part d'abord
ceux portant les échelles,
et il *les* appliquèrent ; [gère
puis douze *soldats* armés-à-la lé-
avec une courte-épée et une cui-
montaient, [rasse
lesquels commandait

Ἀμμέας ὁ Κοροίβου καὶ πρῶτος ἀνέβη· μετὰ δὲ αὐτὸν οἱ ἑπόμενοι ἓξ ἐφ' ἑκάτερον τῶν πύργων ἀνέβαινον· ἔπειτα ψιλοὶ ἄλλοι μετὰ τούτους ξὺν δορατίοις ἐχώρουν, οἷς ἕτεροι κατόπιν τὰς ἀσπίδας ἔφερον, ὅπως ἐκεῖνοι ῥᾷον προσβαίνοιεν, καὶ ἔμελλον δώσειν ὁπότε πρὸς τοῖς πολεμίοις εἶεν. Ὡς δὲ ἄνω πλείους ἐγένοντο, ἤσθοντο οἱ ἐκ τῶν πύργων φύλακες· κατέβαλε γὰρ τις τῶν Πλαταιῶν ἀντιλαμβανόμενος ἀπὸ τῶν ἐπάλξεων κεραμίδα, ἡ πεσοῦσα δοῦπον ἐποίησε. Καὶ αὐτίκα βοὴ ἦν, τὸ δὲ στρατόπεδον ἐπὶ τὸ τεῖχος ὥρμησεν· οὐ γὰρ ἤδει ὅ τι ἦν τὸ δεινὸν σκοτεινῆς νυκτὸς καὶ χειμῶνος ὄντος, καὶ ἅμα οἱ ἐν τῇ πόλει τῶν Πλαταιῶν ὑπολελειμμένοι ἐξελθόντες προσέβαλον τῷ τείχει τῶν Πελοποννησίων ἐκ τοὔμπαλιν ἢ οἱ ἄνδρες αὐτῶν ὑπερέβαινον, ὅπως ἥκιστα πρὸς αὐτοὺς τὸν νοῦν ἔχοιεν. Ἐθορυβοῦντο μὲν οὖν κατὰ χώραν μένοντες, βοηθεῖν δὲ οὐδεὶς ἐτόλμα ἐκ τῆς αὐτῶν φυλακῆς, ἀλλ' ἐν ἀπόρῳ ἦσαν εἰκάσαι τὸ γιγνόμενον. Καὶ οἱ τριακόσιοι[1]

avec l'épée et la cuirasse, conduits par Amméas fils de Corébos, qui escalada le premier. Après lui montèrent ses douze compagnons, six vers chacune des deux tours. Ils étaient suivis par d'autres soldats armés à la légère et munis simplement de lances, afin de ne pas être gênés dans leur marche. D'autres, placés derrière eux, portaient leurs boucliers, qu'ils devaient leur passer lorsqu'on serait près de l'ennemi. La plupart étaient déjà parvenus sur la muraille, lorsqu'ils furent découverts par les sentinelles retirées dans les tours. Un Platéen, en saisissant un créneau, avait détaché une brique. Au bruit de la chute, un cri s'élève ; en un clin d'œil les assiégeants se précipitent sur le mur, sans savoir, dans cette nuit sombre et orageuse, d'où provenait l'alarme. En même temps, les Platéens demeurés dans la ville font une fausse attaque contre la partie du mur opposée à celle par où leurs gens montaient. Les Péloponnésiens déconcertés restent immobiles, nul n'osant quitter son poste dans l'ignorance de ce qui se passait. Cependant les trois cents hom-

Ἀμμέας ὁ Κοροίβου
καὶ ἀνέβη πρῶτος·
μετὰ δὲ αὐτὸν
οἱ ἑπόμενοι ἀνέβαινον
ἓξ ἐπὶ ἑκάτερον τῶν πυργῶν·
ἔπειτα μετὰ τούτους
ἐχώρουν ξὺν δορατίοις
ἄλλοι ψιλοὶ,
οἷς ἕτεροι κατόπιν
ἔφερον τὰς ἀσπίδας,
ὅπως ἐκεῖνοι προσβαίνοιεν
ῥᾷον,
καὶ ἔμελλον δώσειν
ὁπότε εἶεν
πρὸς τοῖς πολεμίοις.
Ὡς δὲ ἐγένοντο
πλείους ἄνω,
οἱ φύλακες ἐκ τῶν πύργων
ἤσθοντο·
τὶς γὰρ τῶν Πλαταιῶν
ἀντιλαμβανόμενος
κατέβαλε κεραμίδα
ἀπὸ τῶν ἐπάλξεων,
ἣ πεσοῦσα
ἐποίησε δοῦπον.
Καὶ αὐτίκα βοὴ ἦν,
τὸ δὲ στρατόπεδον
ὥρμησεν ἐπὶ τὸ τεῖχος·
οὐ γὰρ ἤδει
ὅ τι ἦν τὸ δεινὸν
νυκτὸς σκοτεινῆς
καὶ χειμῶνος ὄντος,
καὶ ἅμα
οἱ τῶν Πλαταιῶν
ὑπολελειμμένοι ἐν τῇ πόλει
ἐξελθόντες προσέβαλον
τῷ τείχει τῶν Πελοποννησίων
ἐκ τοῦ ἔμπαλιν
ἢ οἱ ἄνδρες αὐτῶν
ὑπερέβαινον,
ὅπως ἔχοιεν τὸν νοῦν
ἥκιστα πρὸς αὐτούς.
Ἐθορυβοῦντο μὲν οὖν
μένοντες κατὰ χώραν,
οὐδεὶς δὲ ἔτολμα
βοηθεῖν
ἐκ τῆς φυλακῆς αὐτῶν,
ἀλλὰ ἦσαν ἐν ἀπόρῳ
εἰκάσαι τὸ γιγνόμενον.
Καὶ οἱ τριακόσιοι αὐτῶν

Amméas le *fils* de Corèbos
et il monta le premier ;
et après lui
ceux qui suivaient montaient
six sur chacune-des-deux tours ;
puis après ceux-là
marchaient avec des javelots
d'autres armés-à-la-légère,
auxquels d'autres par-derrière
portaient les boucliers,
afin que ceux-là s'approchassent
plus facilement,
et *auxquels* il devaient *les* donner
lorsqu'ils seraient
près des ennemis.
D'autre part quand ils furent
plus nombreux en haut,
les sentinelles *du haut* des tours
s'en aperçurent ;
car un des Platéens
en s'*y* attachant
fit-tomber une tuile
des créneaux,
laquelle en tombant
fit du bruit.
Et aussitôt un cri était (s'élevait),
d'autre part l'armée
s'élança vers le mur ;
car elle ne savait pas
ce qu'était le danger
une nuit obscure
et de l'orage étant ;
et en-même-temps
ceux des Platéens
restés dans la ville
étant sortis attaquèrent
le mur des Péloponnésiens
du *côté* opposé à celui
par-où les hommes d'eux
franchissaient,
afin que *les ennemis* eussent l'esprit
nullement *tourné* vers eux.
D'une part donc *ceux-ci* étaient
restant en place,
troublés
d'autre part personne n'osait
secourir,
hors du poste d'eux-mêmes,
mais ils étaient dans l'incertitude
pour conjecturer ce qui avait-lieu.
Et les trois cents d'entre eux

αὐτῶν, οἷς ἐτέταχτο παραβοηθεῖν εἴ τι δέοι, ἐχώρουν ἔξω τοῦ τείχους πρὸς τὴν βοήν. Φρυκτοί τε ἤροντο ἐς τὰς Θήβας πολέμιοι [1]. Παρανῖσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως Πλαταιῆς ἀπὸ τοῦ τείχους φρυκτοὺς πολλοὺς πρότερον παρεσκευασμένους ἐς αὐτὸ τοῦτο, ὅπως ἀσαφῆ τὰ σημεῖα τῆς φρυκτωρίας τοῖς πολεμίοις ᾖ καὶ μὴ βοηθοῖεν, ἄλλο τι νομίσαντες τὸ γιγνόμενον εἶναι ἢ τὸ ὄν, πρὶν σφῶν οἱ ἄνδρες οἱ ἐξιόντες διαφύγοιεν καὶ τοῦ ἀσφαλοῦς ἀντιλάβοιντο.

XXIII. Οἱ δ' ὑπερβαίνοντες τῶν Πλαταιῶν ἐν τούτῳ, ὡς οἱ πρῶτοι αὐτῶν ἀνεβεβήκεσαν καὶ τοῦ πύργου ἑκατέρου τοὺς φύλακας διαφθείραντες ἐκεκρατήκεσαν, τάς τε διόδους τῶν πύργων ἐνστάντες αὐτοὶ ἐφύλασσον μηδένα δι' αὐτῶν ἐπιβοηθεῖν, καὶ κλίμακας προσθέντες ἀπὸ τοῦ τείχους τοῖς πύργοις καὶ ἐπαναβιβάσαντες ἄνδρας πλείους, οἱ μὲν ἀπὸ τῶν πύργων τοὺς ἐπιβοηθοῦντας καὶ κάτωθεν καὶ ἄνωθεν εἶργον βάλλοντες, οἱ δ' ἐν τούτῳ οἱ πλείους πολλὰς προσθέντες

mes qui avaient ordre d'accourir en cas d'alerte, s'avancent en dehors du mur vers l'endroit d'où partent les cris. Des signaux sont élevés pour donner l'éveil à Thèbes ; mais les Platéens de la ville élèvent sur leurs murailles un grand nombre d'autres signaux préparés dans ce but. Ils voulaient donner le change à l'ennemi et prévenir son arrivée, jusqu'à ce que leurs gens eussent effectué leur sortie et gagné un lieu de sûreté.

XXIII. Pendant ce temps, les Platéens exécutaient leur escalade. Les premiers arrivés au sommet s'emparèrent des deux tours en massacrant les sentinelles, et occupèrent les passages pour les intercepter à l'ennemi. Ensuite ils appliquèrent des échelles de la plate-forme contre les tours et y firent monter quelques-uns des leurs, afin d'écarter à coups de traits, d'en haut comme d'en bas, les adversaires qui s'approchaient. Au même instant le reste des Platéens dresse à la fois beaucoup

οἷς ἐτέταχτο
παραβοηθεῖν
εἴ δέοι τι,
ἐχώρουν ἔξω τοῦ τείχους
πρὸς τὴν βοήν.
Φρυκτοί τε πολέμιοι
ἤροντο
ἐς τὰς Θήβας.
Οἱ δὲ καὶ Πλαταιῆς
ἐκ τῆς πόλεως
παρανῖσχον
ἀπὸ τοῦ τείχους
πολλοὺς φρυκτοὺς
παρεσκευασμένους πρότερον
ἐς τοῦτο αὐτό,
ὅπως τὰ σημεῖα
τῆς φρυκτωρίας
ἢ ἀσαφῆ τοῖς πολεμίοις,
καὶ νομίσαντες τὸ γιγνόμενον
εἶναί τι ἄλλο
ἢ τὸ ὄν,
μὴ βοηθοῖεν
πρὶν οἱ ἄνδρες σφῶν
οἱ ἐξιόντες
διαφύγοιεν
καὶ ἀντιλάβοιντο τοῦ ἀσφαλοῦς.

XXIII. Οἱ δὲ τῶν Πλαταιῶν,
ὑπερβαίνοντες ἐν τούτῳ,
ὡς οἱ πρῶτοι αὐτῶν
ἀνεβεβήκεσαν
καὶ διαφθείραντες τοὺς φύλακας
ἐκεκρατήκεσαν
τοῦ ἑκατέρου πύργου,
ἔνσταντές τε
ἐφύλασσον αὐτοὶ
τὰς διόδους τῶν πύργων
μηδένα ἐπιβοηθεῖν
δι' αὐτῶν,
καὶ προσθέντες κλίμακας
ἀπὸ τοῦ τείχους
τοῖς πυργοῖς
καὶ ἐπαναβιβάσαντες
πλείους ἄνδρας,
οἱ μὲν ἀπὸ τῶν πύργων
εἶργον βάλλοντες
καὶ κάτωθεν καὶ ἄνωθεν
τοὺς ἐπιβοηθοῦντας,
οἱ δὲ ἐν τούτῳ
οἱ πλείους
προσθέντες πολλὰς κλίμακας

auxquels il avait été enjoint
de venir-au-secours,
s'il *le* fallait en quelque chose,
marchaient hors du mur
vers le cri.
Et des torches signalant-l'-ennemi
étaient élevées
dans-la-direction-de Thèbes.
D'autre part les Platéens aussi
de la ville
élevaient-auprès
du haut de leur mur
beaucoup de torches
préparées auparavant
pour cela même,
afin que les signaux
de l'allumage-des-torches [mis,
fussent non-clairs pour les enne-
et *qu'*ayant pensé ce qui avait-lieu
être quelque autre chose
que celle qui était,
ils ne secourussent pas [mes
avant que les hommes d'eux-mê-
ceux sortant
eussent échappé
et eussent atteint le *lieu* sûr.

XXIII. Or ceux des Platéens
franchissant *le mur* pendant cela,
comme les premiers d'entre eux
étaient montés
et *qu'*ayant tué les gardes
ils s'étaient emparés
de l'une-et-l'autre tour,
et *que* s'étant placés-là
ils gardaient eux-mêmes
les passages des tours [cours
pour personne n'arriver-au-se-
par eux (par ces passages),
et ayant appliqué des échelles
du haut du mur
contre les tours
et *y* ayant fait-monter
plusieurs hommes,
les uns *du haut* des tours
repoussaient en-lançant-des-traits
et d'en-bas et d'en-haut
ceux venant-au-secours,
les autres pendant cela,
les plus nombreux [les
ayant appliqué beaucoup d'échel-

κλίμακας ἅμα καὶ τὰς ἐπάλξεις ἀπώσαντες διὰ τοῦ μεταπυργίου ὑπερέβαινον. Ὁ δὲ διακομιζόμενος ἀεὶ ἵστατο ἐπὶ τοῦ χείλους τῆς τάφρου, καὶ ἐντεῦθεν ἐτόξευόν τε καὶ ἠκόντιζον, εἴ τις παραβοηθῶν παρὰ τὸ τεῖχος κωλυτὴς γίγνοιτο τῆς διαβάσεως. Ἐπεὶ δὲ πάντες διεπεπεραίωντο, οἱ ἀπὸ τῶν πύργων χαλεπῶς οἱ τελευταῖοι καταβαίνοντες ἐχώρουν ἐπὶ τὴν τάφρον, καὶ ἐν τούτῳ οἱ τριακόσιοι αὐτοῖς ἐπεφέροντο λαμπάδας ἔχοντες. Οἱ μὲν οὖν Πλαταιῆς ἐκείνους ἑώρων μᾶλλον ἐκ τοῦ σκότους ἑστῶτες ἐπὶ τοῦ χείλους τῆς τάφρου, καὶ ἐτόξευόν τε καὶ ἐσηκόντιζον ἐς τὰ γυμνά, αὐτοὶ δὲ ἐν τῷ ἀφανεῖ ὄντες ἧσσον διὰ τὰς λαμπάδας καθεωρῶντο, ὥστε φθάνουσι τῶν Πλαταιῶν καὶ οἱ ὕστατοι διαβάντες τὴν τάφρον, χαλεπῶς δὲ καὶ βιαίως· κρύσταλλός τε γὰρ ἐπεπήγει οὐ βέβαιος ἐν αὐτῇ ὥστ' ἐπελθεῖν, ἀλλ' οἷος ἀπηλιώτου [1] ὑδατώδης μᾶλλον, καὶ ἡ νὺξ τοιούτῳ ἀνέμῳ ὑπονιφομένη πολὺ τὸ ὕδωρ ἐν αὐτῇ ἐπε-

d'échelles, arrache les créneaux et franchit la plate-forme. A mesure qu'ils traversaient, ils s'arrêtaient sur le bord du fossé, d'où ils lançaient des flèches et des javelots contre les ennemis qui longeaient le mur pour s'opposer à leur passage. Quand tous eurent traversé, ceux qui étaient dans les tours descendirent les derniers, non sans peine, et gagnèrent le fossé. En ce moment les trois cents s'avançaient contre eux avec des torches. Mais les Platéens, qui se trouvaient dans l'obscurité, les discernaient mieux et, du bord du fossé, les perçaient de flèches et de javelots, en visant aux endroits découverts, tandis que l'ennemi, ébloui par la lueur des flambeaux, avait peine à les distinguer eux-mêmes au milieu des ténèbres. Ainsi tous les Platéens jusqu'au dernier parvinrent à franchir le fossé. Ce ne fut pas sans difficulté ni sans efforts ; car il s'y était formé une glace mince et sans consistance, comme il arrive par un vent d'est plutôt que de nord. La neige tombée pendant la nuit avait telle-

ἅμα καὶ	et en-même-temps aussi
ἀπώσαντες τὰς ἐπάλξεις	ayant renversé les créneaux
ὑπερέβαινον	passaient
διὰ τοῦ μεταπυργίου.	par l'intervalle-des-tours.
Ὁ δὲ διακομιζόμενος ἀεὶ	Or celui qui passait successivement
ἵστατο ἐπὶ τοῦ χείλους	s'arrêtait sur le bord
τῆς τάφρου,	du fossé
καὶ ἐντεῦθεν	et de-là
ἐτόξευόν τε	et on lançait-des-flèches
καὶ ἠκόντιζον,	et on lançait-des-javelots,
εἴ τις παραβοηθῶν	si quelqu'un venant-au-secours
παρὰ τὸ τεῖχος	le-long du mur
γίγνοιτο κωλυτὴς	était empêchement
τῆς διαβάσεως.	du passage.
Ἐπεὶ δὲ πάντες	Or, après que tous
διεπεπεραίωντο,	eurent passé,
οἱ ἀπὸ τῶν πύργων	ceux *du haut* des tours
καταβαίνοντες	descendant
ἐχώρουν οἱ τελευταῖοι	marchaient les derniers
χαλεπῶς	difficilement
ἐπὶ τὴν τάφρον,	vers le fossé,
καὶ ἐν τούτῳ οἱ τριακόσιοι	et pendant cela les trois-cents
ἐπεφέροντο αὐτοῖς	se portaient-contre eux
ἔχοντες λαμπάδας.	ayant des torches.
Οἱ μὲν οὖν Πλαταιῆς	D'une part donc les Platéens
ἑστῶτες ἐπὶ τοῦ χείλους	se-tenant sur le bord
τῆς τάφρου	du fossé
ἑώρων μᾶλλον ἐκείνους	voyaient mieux eux
ἐκ τοῦ σκότους	du-milieu-de l'obscurité,
καὶ ἐτόξευόν τε	et aussi lançaient-des-flèches
καὶ ἐσηκόντιζον	et lançaient-des-javelots,
ἐς τὰ γυμνά,	contre les *parties* nues,
αὐτοὶ δὲ	d'autre part eux-mêmes
ὄντες ἐν τῷ ἀφανεῖ	étant dans l'obscurité
καθεώρωντο ἧσσον	étaient aperçus moins
διὰ τὰς λαμπάδας,	à cause des torches,
ὥστε καὶ οἱ ὕστατοι	de-sorte-que même les derniers
τῶν Πλαταιῶν	des Platéens
φθάνουσι διαβάντες	*les* préviennent en passant
τὴν τάφρον,	le fossé,
χαλεπῶς δὲ καὶ βιαίως·	mais difficilement et par-force;
κρύσταλλός τε γὰρ	car et de la glace
ἐπεπήγει ἐν αὐτῇ	s'était figée (formée) dans lui
οὐ βέβαιος	non solide
ὥστε ἐπελθεῖν,	au-point-de marcher-dessus,
ἀλλὰ μᾶλλον ὑδατωδὴς	mais plutôt aqueuse
οἷος ἀπηλιώτου,	telle *qu'elle est* par un vent-d'-est,
καὶ ἡ νὺξ ὑπονιφομένη	et la nuit accompagnée-de-neige
ἀνέμῳ τοιούτῳ,	par un vent tel
ἐν αὐτῇ ἐπεποίηκει	y avait fait (rendu)

ποιήκει, ὃ μόλις ὑπερέχοντες ἐπεραιώθησαν. Ἐγένετο δὲ καὶ ἡ διάφευξις αὐτοῖς μᾶλλον διὰ τοῦ χειμῶνος τὸ μέγεθος.

XXIV. Ὁρμήσαντες δὲ ἀπὸ τῆς τάφρου οἱ Πλαταιῆς ἐχώρουν ἀθρόοι τὴν ἐς Θήβας φέρουσαν ὁδὸν, ἐν δεξιᾷ ἔχοντες τὸ τοῦ Ἀνδροκράτους[1] ἡρῷον, νομίζοντες ἥκιστ' ἂν σφᾶς ταύτην αὐτοὺς ὑποτοπῆσαι τραπέσθαι τὴν ἐς τοὺς πολεμίους· καὶ ἅμα ἑώρων τοὺς Πελοποννησίους τὴν πρὸς Κιθαιρῶνα καὶ Δρυὸς κεφαλὰς[2] τὴν ἐπ' Ἀθηνῶν φέρουσαν μετὰ λαμπάδων διώκοντας. Καὶ ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ σταδίους οἱ Πλαταιῆς τὴν ἐπὶ τῶν Θηβῶν ἐχώρησαν, ἔπειθ' ὑποστρέψαντες ἦσαν τὴν πρὸς τὸ ὄρος φέρουσαν ὁδὸν ἐς Ἐρύθρας καὶ Ὑσιὰς[3], καὶ λαβόμενοι τῶν ὀρῶν διαφεύγουσιν ἐς τὰς Ἀθήνας, ἄνδρες δώδεκα καὶ διακόσιοι ἀπὸ πλειόνων· εἰσὶ γάρ τινες αὐτῶν οἳ ἀπετράποντο ἐς τὴν πόλιν πρὶν ὑπερβαίνειν, εἷς δ' ἐπὶ τῇ ἔξω τάφρῳ τοξότης ἐλήφθη. Οἱ μὲν οὖν Πελοποννήσιοι κατὰ χώραν ἐγένοντο τῆς βοηθείας παυσάμενοι· οἱ δ' ἐκ τῆς πόλεως Πλαταιῆς τῶν μὲν γεγενημένων εἰδότες οὐδὲν, τῶν δὲ ἀποτραπομένων σφίσιν ἀπαγγειλάντων

ment rempli d'eau le fossé qu'ils en eurent jusqu'aux aisselles. Au reste, la violence de l'orage facilita leur évasion.

XXIV. A partir du fossé, les Platéens en colonne serrée prirent le chemin de Thèbes, en laissant à main droite le monument du héros Androcratès. Ils pensaient bien qu'on ne les soupçonnerait pas de tenir la route qui menait chez leurs ennemis. Cependant ils voyaient les Péloponnésiens les poursuivre avec des flambeaux sur le chemin qui conduit à Athènes par le Cithéron et les Têtes-de-chêne. Durant six ou sept stades, les Platéens suivirent la route de Thèbes ; ensuite ils la quittèrent pour se jeter dans la montagne du côté d'Érythres et d'Hysies. Une fois sur les hauteurs, ils gagnèrent Athènes, où ils arrivèrent au nombre de deux cent douze. Ils étaient partis plus nombreux ; mais quelques-uns étaient rentrés dans la ville avant l'escalade ; un seul archer avait été pris sur le bord du fossé extérieur. Après une poursuite inutile, les Péloponnésiens reprirent leurs positions. Les Platéens restés dans la ville étaient dans une ignorance absolue ; et, sur le rapport de ceux qui avaient

τὸ ὕδωρ πολὺ,
ὃ ἐπεραιώθησαν
ὑπερέχοντες μόλις.
Ἡ δὲ διάφευξις
ἐγένετο καὶ αὐτοῖς
μᾶλλον
διὰ τὸ μέγεθος τοῦ χειμῶνος.

XXIV. Οἱ δὲ Πλαταιῆς
ὁρμήσαντες ἀπὸ τῆς τάφρου
ἐχώρουν ἀθρόοι
τὴν ὁδὸν φέρουσαν
ἐς Θήβας,
ἔχοντες ἐν δεξίᾳ τὸ ἡρῷον
τοῦ Ἀνδροκράτους
νομίζοντες αὐτοὺς
ὑποτοπῆσαι ἂν ἥκιστα
σφᾶς τραπέσθαι
ταύτην
τὴν ἐς τοὺς πολεμίους·
καὶ ἅμα ἑώρων
τοὺς Πελοποννησίους
διώκοντας μετὰ λαμπάδων
τὴν πρὸς Κιθαιρῶνα
καὶ Κεφαλὰς δρυὸς
τὴν φέρουσαν ἐπὶ Ἀθηνῶν.
Καὶ ἐπὶ μὲν ἓξ
ἢ ἑπτὰ σταδίους
οἱ Πλαταιῆς ἐχώρησαν
τὴν ἐπὶ τῶν Θηβῶν,
ἔπειτα ὑποστρέψαντες
ἦσαν τὴν ὁδὸν
φέρουσαν πρὸς τὸ ὄρος
ἐς Ἐρύθρας καὶ Ὑσίας,
καὶ λαβόμενοι τῶν ὀρῶν
διαφεύγουσιν ἐς Ἀθήνας,
ἄνδρες δώδεκα καὶ διακόσιοι
ἀπὸ πλειόνων·
τινὲς γὰρ αὐτῶν εἰσιν
οἳ ἀπετράποντο ἐς τὴν πόλιν
πρὶν ὑπερβαίνειν,
εἷς δὲ τοξότης ἑλήφθη
ἐπὶ τῇ τάφρῳ ἔξω.
Οἱ μὲν οὖν Πελοποννήσιοι
ἐγένοντο κατὰ χώραν
παυσάμενοι τῆς βοηθείας·
οἱ δὲ Πλαταιῆς ἐκ τῆς πόλεως
εἰδότες μὲν οὐδὲν
τῶν γεγενημένων,
τῶν δὲ ἀποτραπομένων
ἀπαγγειλάντων σφίσιν

l'eau abondante,
laquelle ils traversèrent
la dépassant à peine.
Or l'évasion
avait eu lieu aussi pour eux
plus *facilement*
à cause de la grandeur de l'orage.

XXIV. Or les Platéens
s'étant élancés du fossé
marchaient serrés
par la route conduisant
à Thèbes,
ayant à droite la tombe-de-héros
d'Androcratès,
pensant eux
devoir soupçonner le moins
eux-mêmes se diriger
par cette *route*
celle vers les ennemis ;
et en-même-temps ils voyaient
les Péloponnésiens
les poursuivant avec des torches
par celle vers le Cithéron
et les Têtes de chêne
celle qui-conduisait à Athènes.
Et d'une part sur six
ou sept stades
les Platéens marchèrent
par celle *menant* à Thèbes,
puis s'étant détournés
ils allèrent par la route
conduisant à la montagne
vers Érythres et Hysies ; [gnes
et ayant saisi (atteint) les monta-
ils se réfugient à Athènes,
hommes douze et deux cents
de plus *qu'ils avaient été ;*
car quelques-uns d'eux sont
qui retournèrent dans la ville,
avant de franchir *le mur*,
d'autre part un archer avait été pris
sur le mur à-l'extérieur.
D'une part donc les Péloponnésiens
furent (restèrent) en place
ayant cessé le secours ;
d'autre part les Platéens de la ville
d'un côté ne sachant rien
des *faits* ayant eu-lieu, [retournés
d'un autre côté ceux qui étaient
ayant annoncé à eux

ὡς οὐδεὶς περίεστι, κήρυκα ἐκπέμψαντες, ἐπεὶ ἡμέρα ἐγένετο, ἐσπένδοντο ἀναίρεσιν τοῖς νεκροῖς, μαθόντες δὲ τὸ ἀληθὲς ἐπαύσαντο. Οἱ μὲν δὴ τῶν Πλαταιῶν ἄνδρες οὕτως ὑπερβάντες ἐσώθησαν.

X. DISCOURS DE DIODOTE SUR LES AFFAIRES DE MYTILÈNE.

(Livre III, §§ 42-49.)

XLII. « Οὔτε τοὺς προθέντας τὴν διαγνώμην αὖθις[1] περὶ Μυτιληναίων αἰτιῶμαι οὔτε τοὺς μεμφομένους μὴ πολλάκις περὶ τῶν μεγίστων βουλεύεσθαι ἐπαινῶ, νομίζω τε δύο τὰ ἐναντιώτατα εὐβουλίᾳ εἶναι, τάχος τε καὶ ὀργήν, ὧν τὸ μὲν μετὰ ἀνοίας φιλεῖ γίγνεσθαι, τὸ δὲ μετὰ ἀπαιδευσίας καὶ βραχύτητος γνώμης. Τούς τε λόγους ὅστις διαμάχεται μὴ διδασκάλους τῶν πραγμάτων γίγνεσθαι, ἢ ἀξύνετός ἐστιν ἢ ἰδίᾳ τι αὐτῷ διαφέρει· ἀξύνετος μὲν, εἰ ἄλλῳ τινὶ ἡγεῖται περὶ τοῦ μέλλοντος δυνατὸν εἶναι καὶ μὴ ἐμφανοῦς φράσαι, διαφέρει δ' αὐτῷ, εἰ βουλόμενός τι αἰσχρὸν πεῖσαι εὖ μὲν

rebroussé chemin, ils croyaient que personne n'était échappé. Dès qu'il fit jour, ils envoyèrent un héraut pour l'enlèvement des morts; mieux informés, ils se tinrent tranquilles. C'est ainsi que les Platéens s'évadèrent en traversant les lignes des ennemis.

X

XLII. « Ce n'est pas moi qui me plaindrai de ce qu'on a remis en discussion l'affaire des Mytiléniens, ou qui désapprouverai jamais qu'on délibère plus d'une fois sur des causes majeures. Deux défauts me paraissent surtout contraires à la sagesse des délibérations, savoir la précipitation et la colère. L'une provient de légèreté, l'autre d'entêtement et d'ignorance. Quant à celui qui soutient que le langage n'est pas l'inspirateur des actions, il faut qu'il soit ou aveugle ou intéressé : aveugle, s'il croit qu'il existe un autre moyen de jeter du jour sur les questions obscures ; intéressé, si, voulant proposer quelque turpitude et désespérant d'appuyer par de bonnes raisons une mauvaise cause, il cherche

ὡς οὐδεὶς περίεστι,
ἐκπέμψαντες κήρυκα,
ἐπεὶ ἡμέρα ἐγένετο,
ἐσπένδοντο
ἀναίρεσιν τοῖς νεκροῖς,
μαθόντες δὲ τὸ ἀληθὲς
ἐπαύσαντο.
Οἱ μὲν δὴ ἄνδρες
τῶν Πλαταιῶν
ὑπερβάντες οὕτως
ἐσώθησαν.

qu'aucun ne survit,
ayant envoyé un héraut,
après que le jour fut arrivé,
négociaient-par-une-trêve
l'enlèvement pour les (des) morts,
d'autre part ayant appris la vérité
ils cessèrent.
Or donc les hommes
des Platéens
ayant passé ainsi
furent sauvés.

X. DISCOURS DE DIODOTE SUR LES AFFAIRES DE MYTILÈNE.

XLII. « Οὔτε αἰτιῶμαι
τοὺς προθέντας αὖθις
τὴν διαγνώμην
περὶ Μυτιληναίων
οὔτε ἐπαινῶ
τοὺς μεμφομένους
μὴ βουλεύεσθαι πολλάκις
περὶ τῶν μεγίστων,
νομίζω τε
τὰ ἐναντιώτατα
εὐβουλίᾳ
εἶναι δύο,
τάχος τε καὶ ὀργήν,
ὧν τὸ μὲν φιλεῖ
γίγνεσθαι μετὰ ἀνοίας,
τὸ δὲ μετὰ ἀπαιδευσίας
καὶ βραχύτητος γνώμης.
Ὅστις τε διαμάχεται
τοὺς λόγους μὴ εἶναι
διδασκάλους
τῶν πραγμάτων,
ἢ ἔστιν ἀξύνετος,
ἢ τι διαφέρει αὐτῷ
ἰδίᾳ·
ἀξύνετος μὲν,
εἰ ἡγεῖται εἶναι δυνατὸν
φράσαι τινὶ ἄλλῳ
περὶ τοῦ μέλλοντος
καὶ μὴ ἐμφανοῦς,
διαφέρει δὲ αὐτῷ,
εἰ βουλόμενος πεῖσαί
τι αἰσχρὸν

XLII. « Ni je n'accuse [veau
ceux qui ont mis-en-avant de-nou-
la décision
au-sujet des Mytilénieus
ni je n'approuve
ceux qui demandent-avec-blâme
de ne pas délibérer plusieurs-fois
sur les *affaires* les plus grandes,
et je pense
les choses les plus contraires
à une bonne-délibération
être deux,
et précipitation et colère,
dont l'une a-coutume
de se-trouver avec la sottise,
l'autre avec l'ignorance
et l'insuffisance d'esprit.
Et quiconque soutient
les discours n'être pas
les maîtres (les inspirateurs)
des actions,
ou est inintelligent,
ou quelque chose importe à lui
en-particulier ;
inintelligent d'une part,
s'il pense être possible [*moyen*
de s'expliquer par quelque autre
sur la chose future
et non apparente, [à lui,
d'autre part il importe (intérêt-est)
si voulant persuader
quelque chose de honteux

εἰπεῖν οὐκ ἂν ἡγεῖται περὶ τοῦ μὴ καλοῦ δύνασθαι, εὖ δὲ διαβαλὼν ἐκπλῆξαι ἂν τούς τε ἀντεροῦντας καὶ τοὺς ἀκουσομένους. Χαλεπώτατοι δὲ καὶ οἱ ἐπὶ χρήμασι προσκατηγοροῦντες ἐπίδειξίν[1] τινα. Εἰ μὲν γὰρ ἀμαθίαν κατηγοροῦντο, ὁ μὴ πείσας ἀξυνετώτερος ἂν δόξας εἶναι ἢ ἀδικώτερος ἀπεχώρει· ἀδικίας δ' ἐπιφερομένης, πείσας τε ὕποπτος γίγνεται καὶ μὴ τυχὼν μετὰ ἀξυνεσίας καὶ ἄδικος. Ἥ τε πόλις οὐκ ὠφελεῖται ἐν τῷ τοιῷδε· φόβῳ γὰρ ἀποστερεῖται τῶν ξυμβούλων, καὶ πλεῖστ' ἂν ὀρθοῖτο ἀδυνάτους λέγειν ἔχουσα τοὺς τοιούτους τῶν πολιτῶν· ἐλάχιστα γὰρ ἂν πεισθείη ξυναμαρτάνειν. Χρὴ δὲ τὸν μὲν ἀγαθὸν πολίτην μὴ ἐκφοβοῦντα τοὺς ἀντεροῦντας, ἀλλ' ἀπὸ τοῦ ἴσου φαίνεσθαι ἄμεινον λέγοντα, τὴν δὲ σώφρονα πόλιν τῷ τε πλεῖστα εὖ βουλεύοντι μὴ προστιθέναι τιμὴν, ἀλλὰ μηδ' ἐλασσοῦν τῆς ὑπαρχούσης, καὶ τὸν μὴ τυχόντα

par d'adroites calomnies à intimider ses adversaires et ses auditeurs. Mais la pire espèce est celle des gens qui accusent leurs antagonistes de trafiquer de l'art de la parole. S'ils se bornaient à les taxer d'ineptie, la défaite ferait perdre la réputation d'habileté, non celle de probité ; mais, devant le reproche de corruption, l'on a beau triompher, le soupçon reste ; et, si l'on succombe, on paraît à la fois dénué de talent et de vertu. Tout cela ne fait pas le compte de la république ; car la crainte la prive de ses conseillers. Les choses iraient bien mieux pour elle, si de tels citoyens étaient de moins habiles orateurs ; ils ne l'entraîneraient pas dans tant de fautes. Le bon citoyen n'use pas d'intimidation envers ses adversaires ; il lutte contre eux à armes égales et ne doit son triomphe qu'à la supériorité de ses avis. De son côté, une sage république, sans refuser au meilleur conseiller les honneurs qu'il mérite, ne devrait pas les exagérer. Loin d'infliger

ἡγεῖται	il pense
οὐκ ἂν δύνασθαι	ne pas pouvoir (qu'il ne pourrait
εἰπεῖν μὲν εὖ	d'une part parler bien
περὶ τοῦ μὴ καλοῦ,	sur la chose non belle, [bien
διαβαλὼν δὲ εὖ	d'autre part *il pense* calomniant
ἐκπλῆξαι ἂν	pouvoir-intimider
τούς τε ἀντεροῦντας	et ceux devant *le* contredire
καὶ τοὺς ἀκουσομένους.	et ceux devant *l'*entendre. [ceux
Χαλεπώτατοι δὲ καὶ οἱ	Mais les plus fâcheux *sont* encore
προσκατηγοροῦντές	qui-accusent-en-outre
τινα ἐπίδειξιν	*de faire* une démonstration
ἐπὶ χρήμασιν.	moyennant de l'argent.
Εἰ μὲν γὰρ κατηγτιῶντο	Car si d'une part ils accusaient
ἀμαθίαν,	d'ignorance, [persuadé)
ὁ μὴ πείσας	celui n'ayant pas (qui n'aurait pas
ἀπεχώρει ἂν	se retirerait
δόξας εἶναι ἀξυνετώτερος	ayant paru être plus inintelligent
ἢ ἀδικώτερος·	que plus injuste (qu'injuste);
ἀδικίας δὲ ἐπιφερομένης,	mais l'injustice étant imputée
πείσας τε	et ayant persuadé
γίγνεται ὕποπτος	il devient suspect
καὶ μὴ τυχὼν	et n'ayant pas atteint *son but*
μετὰ ἀξυνεσίας	avec (outre) l'inintelligence
καὶ ἄδικος.	*il paraît* encore *être* injuste.
Ἥ τε πόλις οὐκ ὠφελεῖται	Et la ville n'est pas aidée
ἐν τῷ τοιῷδε·	dans le *cas* tel;
ἀποστερεῖται γὰρ	car elle est privée
τῶν ξυμβούλων	de ses conseillers
φόβῳ,	par la crainte,
καὶ ὀρθοῖτο ἂν	et elle serait relevée (elle réussirait)
πλεῖστα	dans des choses très nombreuses
ἔχουσα τοὺς τοιούτους	ayant (si elle avait) les tels
τῶν πολιτῶν	des citoyens (ceux qui accusent les
ἀδυνάτους λέγειν·	inhabiles à parler; [autres)
πεισθείη γὰρ ἂν ἐλάχιστα	car elle serait persuadée très peu
ξυναμαρτάνειν.	de commettre-des-fautes-avec *eux*.
Χρὴ δὲ	Or il faut
τὸν μὲν ἀγαθὸν πολιτὴν	d'une part le bon citoyen
φαίνεσθαι	se montrer
μὴ ἐκφοβοῦντα	n'intimidant pas
τοὺς ἀντεροῦντας,	ceux devant *le* contredire,
ἀλλὰ λέγοντα ἄμεινον	mais parlant mieux
ἀπὸ τοῦ ἴσου,	à égalité,
τὴν δὲ πόλιν σώφρονα	d'autre part la ville sage
μή τε προστιθέναι τιμὴν	et ne pas ajouter d'honneur
τῷ βουλεύοντι εὖ	à celui qui conseille bien
πλεῖστα,	des choses très nombreuses,
ἀλλὰ μηδὲ ἐλασσοῦν	mais-non plus ne diminuer
τῆς ὑπαρχούσης,	*de l'honneur* existant-déjà,
καὶ οὐχ ὅπως ζημιοῦν	et non-seulement *ne pas* punir

γνώμης οὐχ ὅπως[1] ζημιοῦν, ἀλλὰ μηδ' ἀτιμάζειν. Οὕτω γὰρ ὅ τε κατορθῶν ἥκιστα ἂν ἐπὶ τῷ ἔτι μειζόνων ἀξιοῦσθαι παρὰ γνώμην τι καὶ πρὸς χάριν λέγοι, ὅ τε μὴ ἐπιτυχὼν ὀρέγοιτο τῷ αὐτῷ, χαριζόμενός τε καὶ αὐτὸς, προσάγεσθαι τὸ πλῆθος.

XLIII. « Ὧν ἡμεῖς τἀναντία δρῶμεν, καὶ προσέτι ἤν τις καὶ ὑποπτεύηται κέρδους μὲν ἕνεκα τὰ βέλτιστα δ' ὅμως λέγειν, φθονήσαντες τῆς οὐ βεβαίου δοκήσεως τῶν κερδῶν τὴν φανερὰν ὠφελίαν τῆς πόλεως ἀφαιρούμεθα. Καθέστηκε δὲ τἀγαθὰ ἀπὸ τοῦ εὐθέος λεγόμενα μηδὲν ἀνυποπτότερα εἶναι τῶν κακῶν, ὥστε δεῖν ὁμοίως τόν τε τὰ δεινότατα βουλόμενον πεῖσαι ἀπάτῃ προσάγεσθαι τὸ πλῆθος καὶ τὸν τὰ ἀμείνω λέγοντα ψευσάμενον πιστὸν γενέσθαι. Μόνην τε πόλιν διὰ τὰς περινοίας εὖ ποιῆσαι ἐκ τοῦ προφανοῦς μὴ ἐξαπατήσαντα ἀδύνατον· ὁ γὰρ διδοὺς φανερῶς τι ἀγαθὸν

une peine à l'orateur qui succombe, elle devrait ne lui témoigner aucune défaveur. De cette façon, le vainqueur se laisserait moins aller, par le désir de nouvelles distinctions, à parler contre son sentiment et pour plaire à la multitude, comme aussi le vaincu n'aurait pas recours à la flatterie pour regagner la popularité.

XLIII. « Nous faisons précisément le contraire. Ce n'est pas tout : pour peu qu'un orateur soit soupçonné de vues intéressées, quelle que soit l'excellence de ses conseils, nous nous méfions de sa vénalité prétendue et nous privons ainsi l'État d'avantages réels. Les choses en sont venues au point que les meilleures idées, émises sans détour, ne sont pas moins suspectes que les pires. D'où il résulte que, non-seulement l'auteur de la plus dangereuse proposition est obligé de recourir à l'artifice pour convaincre la multitude, mais l'avis le plus utile a besoin du mensonge pour se faire accepter. Avec cette humeur ombrageuse, notre ville est la seule qu'on ne puisse servir ouvertement et sans la tromper. Faites franchement une offre profitable, et

τὸν μὴ τύχονταcelui qui n'a pas obtenu (fait triom-
γνώμης, *son* avis, [pher)
ἀλλὰ μηδὲ ἀτιμάζειν. mais ne-pas-même *le* mépriser.
Οὕτω γὰρ Car de-cette-façon
ὅ τε κατορθῶν et celui qui réussit
ἥκιστα λέγοι ἄν τι ne dirait nullement quelque chose
παρὰ γνώμην contre *son* avis
καὶ πρὸς χάριν et par flatterie
ἐπὶ τῷ ἀξιοῦσθαι pour le être jugé-digne
ἔτι μειζόνων, d'*honneurs* encore plus grands,
ὅ τε μὴ ἐπιτυχὼν et celui qui n'aurait pas atteint *son*
ὀρέγοιτο *ne* désirerait *nullement* [*but*
προσάγεσθαι τὸ πλῆθος attirer à soi la multitude
τῷ αὐτῷ, par le même *moyen*,
χαριζόμενός τι en flattant en quelque chose
καὶ αὐτός. lui aussi.

XLIII. « Ὧν ἡμεῖς XLIII. « Desquelles choses nous
δρῶμεν τὰ ἐναντία, faisons les choses contraires,
καὶ προσέτι et en-outre
ἤν τις καὶ ὑποπτεύηται si quelqu'un même est soupçonné
λέγειν μὲν de dire (de parler) d'une part
ἕνεκα κέρδους, en-vue-d'un profit,
ὅμως δὲ d'autre part pourtant
τὰ βέλτιστα, *de dire* les meilleures choses,
φθονήσαντες *l'*ayant vu-avec-malveillance
τῆς δοκήσεως τῶν κερδῶν *à cause* de l'opinion des profits
οὐ βεβαίου non certaine
ἀφαιρούμεθα τῆς πόλεως nous enlevons de (ôtons à) la ville
τὴν ὠφελίαν φανεράν. l'avantage manifeste.
Καθέστηκε δὲ Or il s'est établi
τὰ ἀγαθὰ λεγόμενα les bonnes choses dites
ἀπὸ τοῦ εὐθέος de la *manière* directe (sans détour)
εἶναι μηδὲν ἀνυποπτότερα *n'*être en rien moins-suspectes
τῶν κακῶν, que les mauvaises,
ὥστε δεῖν ὁμοίως de-sorte-qu'il faut également
τόν τε βουλόμενον et celui qui veut [gereuses
πεῖσαι τὰ δεινότατα persuader les choses les plus dan-
προσάγεσθαι ἀπάτῃ attirer-à-soi par la tromperie
τὸ πλῆθος la multitude [leures
καὶ τὸν λέγοντα τὰ ἀμείνω et celui qui dit les choses les meil-
γενέσθαι πιστὸν être cru
ψευσάμενον. ayant menti (en mentant).
Ἀδύνατόν τε Et il *est* impossible
ποιῆσαι εὖ de faire du bien
ἐκ τοῦ προφανοῦς de la *manière* manifeste [per)
μὴ ἐξαπατήσαντα *et* n'ayant pas trompé (sans trom-
μόνην πόλιν à *cette* ville seule
διὰ τὰς περινοίας. à cause de ces finesses.
Ὁ γὰρ διδοὺς φανερῶς Car celui qui donne visiblement
τι ἀγαθὸν quelque chose de bon

ἀνθυποπτεύεται ἀφανῶς πῃ πλέον ἔξειν. Χρὴ δὲ πρὸς τὰ μέγιστα καὶ ἐν τῷ τοιῷδε ἀξιοῦν τι ἡμᾶς περαιτέρω προνοοῦντας λέγειν ὑμῶν τῶν δι' ὀλίγου σκοποῦντων, ἄλλως τε καὶ ὑπεύθυνον τὴν παραίνεσιν ἔχοντας πρὸς ἀνεύθυνον τὴν ὑμετέραν ἀκρόασιν. Εἰ γὰρ ὅ τε πείσας καὶ ὁ ἐπισπόμενος ὁμοίως ἐβλάπτοντο, σωφρονέστερον ἂν ἐκρίνετε· νῦν δὲ πρὸς ὀργὴν ἥντινα τύχητε ἔστιν ὅτε σφαλέντες τὴν τοῦ πείσαντος μίαν γνώμην ζημιοῦτε καὶ οὐ τὰς ὑμετέρας αὐτῶν, εἰ πολλαὶ οὖσαι ξυνεξήμαρτον.

XLIV. « Ἐγὼ δὲ παρῆλθον οὔτε ἀντερῶν περὶ Μυτιληναίων, οὔτε κατηγορήσων. Οὐ γὰρ περὶ τῆς ἐκείνων ἀδικίας ἡμῖν ὁ ἀγὼν, εἰ σωφρονοῦμεν, ἀλλὰ περὶ τῆς ἡμετέρας εὐβουλίας. Ἤν τε γὰρ ἀποφήνω πάνυ ἀδικοῦντας αὐτοὺς, οὐ διὰ τοῦτο καὶ ἀποκτεῖναι κελεύσω, εἰ μὴ ξυμφέρον· ἤν τε καὶ ἔχοντάς τι ξυγγνώμης, ἐᾶν, εἰ τῇ πόλει μὴ ἀγαθὸν φαίνοιτο.

aussitôt on vous soupçonne de rechercher secrètement quelque bénéfice personnel et plus grand. Vous devriez pourtant, quand les circonstances sont graves et dans un cas tel que celui-ci, trouver bon que nous autres, orateurs, nous mettions dans nos avis plus de prévoyance que vous-mêmes n'en pouvez avoir, vous qui n'étudiez les questions qu'au dernier moment ; d'autant plus que nous sommes responsables de nos avis et que vous ne l'êtes pas de vos votes. Si du moins l'auteur d'un projet et celui qui l'adopte avaient les mêmes risques à courir, vos jugements seraient plus équitables ; mais non : sous l'influence du premier mouvement de colère si l'affaire tourne mal, vous sévissez contre celui qui vous a persuadés et qui n'avait que sa propre opinion, et vous n'avez garde de vous en prendre à vous-mêmes, bien que votre faute ait été celle du grand nombre.

XLIV. « Pour moi, si j'ai pris la parole au sujet des Mytiléniens, ce n'est pour contredire ni pour accuser personne ; car, à considérer sagement les choses, ce n'est pas de leurs torts qu'il s'agit, mais du meilleur parti à prendre pour nous-mêmes. Me fût-il démontré qu'ils sont coupables au premier chef, ce ne serait pas pour moi une raison de conclure à la mort, si nous n'y trouvions pas notre avantage ; comme aussi je ne leur ferais grâce qu'en tant

ἀνθυποπτεύεται
ἔξειν ἀφανῶς πλέον
πῃ.
Χρὴ δὲ
πρὸς τὰ μέγιστα
καὶ ἐν τῷ τοιῷδε
ἀξιοῦν ἡμᾶς λέγειν
προνοοῦντάς τι
περαιτέρω
ὑμῶν τῶν σκοπούντων
διὰ ὀλίγου,
ἄλλως τε καὶ ἔχοντας
τὴν παραίνεσιν ὑπεύθυνον
πρὸς τὴν ὑμετέραν ἀκρόασιν
ἀπεύθυνον.
Εἰ γὰρ ὅ τε πείσας
καὶ ὁ ἐπισπόμενος
ἐβλάπτοντο
ὁμοίως,
ἐκρίνετε ἂν σωφρονέστερον·
νῦν δὲ
πρὸς ὀργὴν
ἥντινα τύχητε
ἔστιν ὅτε σφαλέντες
ζημιοῦτε τὴν γνώμην μίαν
τοῦ πείσαντος
καὶ οὐ τὰς ὑμετέρας ὑμῶν,
εἰ οὖσαι πολλαὶ
ξυνεξήμαρτον.
XLIV. « Ἐγὼ δὲ
παρῆλθον
οὔτε ἀντερῶν
οὔτε κατηγορήσων
περὶ Μυτιληναίων.
Ὁ γὰρ ἀγὼν ἐστιν ἡμῖν,
εἰ σωφρονοῦμεν,
οὐ περὶ τῆς ἀδικίας ἐκείνων,
ἀλλὰ περὶ
τῆς εὐβουλίας ἡμετέρας.
Ἦν τε γὰρ ἀποφήνω
αὐτοὺς πάνυ ἀδικοῦντας,
οὐ κελεύσω διὰ τοῦτο
καὶ ἀποκτεῖναι,
εἰ μὴ ξυμφέρον·
ἤν τε καὶ
ἔχοντάς τι ξυγγνώμης,
ἐᾶν,
εἰ
μὴ φαίνοιτο
ἀγαθὸν τῇ πόλει.

est soupçonné-en-retour [vantage
de devoir obtenir secrètement da-
de-quelque-manière.
Or il faut [tantes
pour *les affaires* les plus impor-
et dans le cas tel
trouver-bon nous parler
prévoyant en quelque chose
plus avant
que vous qui examinez
à petite *distance*,
et nous d'ailleurs ayant
l'action-de-conseiller responsable
contre votre-manière-d'-écouter
irresponsable.
Car si et celui qui a persuadé
et celui qui a suivi *le conseil*
éprouvaient-du-dommage
semblablement
vous décideriez plus sagement ;
mais maintenant
selon la colère [trouvés
dans laquelle vous vous serez
il arrive qu'ayant échoué
vous châtiez l'avis seul
de celui qui *vous* a persuadés
et non les *votes* de *vous*-mêmes,
même si étant nombreux
ils ont-concouru-à-la-faute.
XLIV. « Or moi
je me suis présenté
ni devant contredire
ni devant accuser
au-sujet des Mytiléniens.
Car la discussion est à nous,
si nous sommes-sages,
non sur l'injustice de ceux-là
mais sur
la bonne-délibération nôtre.
Car et si je démontre
eux tout à fait coupables,
je n'engagerai pas pour cela
de *les* tuer aussi,
si *cela* n'*est* pas utile ;
et si *je démontre* aussi,
eux ayant quelque peu d'excuse,
je n'engagerai pas pour cela de *les*
si [laisser,
cela ne paraissait pas
bon pour la ville.

Νομίζω δὲ περὶ τοῦ μέλλοντος ὑμᾶς μᾶλλον βουλεύεσθαι ἢ τοῦ παρόντος· καὶ τοῦτο ὃ μάλιστα Κλέων ἰσχυρίζεται, ἐς τὸ λοιπὸν ξυμφέρον ἔσεσθαι πρὸς τὸ ἧσσον ἀφίστασθαι θάνατον ζημίαν προθεῖσι, καὶ αὐτὸς περὶ τοῦ ἐς τὸ μέλλον καλῶς ἔχοντος ἀντισχυριζόμενος τἀναντία γιγνώσκω. Καὶ οὐκ ἀξιῶ ὑμᾶς τῷ εὐπρεπεῖ τοῦ ἐκείνου λόγου τὸ χρήσιμον τοῦ ἐμοῦ ἀπώσασθαι. Δικαιότερος γὰρ ὢν αὐτοῦ ὁ λόγος πρὸς τὴν νῦν ὑμετέραν ὀργὴν ἐς Μυτιληναίους τάχα ἂν ἐπισπάσαιτο· ἡμεῖς δὲ οὐ δικαζόμεθα πρὸς αὐτούς, ὥστε τῶν δικαίων δεῖν, ἀλλὰ βουλευόμεθα περὶ αὐτῶν, ὅπως χρησίμως ἕξουσιν.

XLV. « Ἐν οὖν ταῖς πόλεσι πολλῶν θανάτου ζημία πρόκειται καὶ οὐκ ἴσων τῷδε, ἀλλ' ἐλασσόνων ἁμαρτημάτων· ὅμως δὲ τῇ ἐλπίδι ἐπαιρόμενοι κινδυνεύουσι, καὶ οὐδείς πω, καταγνοὺς ἑαυτοῦ μὴ περιέσεσθαι τῷ ἐπιβουλεύματι, ἦλθεν ἐς τὸ δεινόν. Πόλις τε ἀφισταμένη τίς πω ἧσσω τῇ δοκήσει

que le bien de l'État l'exigerait. J'estime que nous avons à délibérer sur l'avenir encore plus que sur le présent. Cléon soutient que la peine capitale sera utile dans la suite, parce qu'elle diminuera les défections ; et moi, la considération de nos intérêts futurs me conduit à une conclusion diamétralement opposée. Ne vous laissez pas engager par ce que son argumentation peut avoir de spécieux, à repousser ce qu'il y a de vraiment utile dans la mienne. Son discours, motivé par votre colère contre les Mytiléniens, est de nature à vous persuader ; toutefois nous n'avons point ici à leur faire leur procès ni à peser la justice de leur conduite, mais à délibérer sur ce que réclame notre intérêt à leur égard.

XLV. « Dans la plupart des États, la peine de mort est établie contre plusieurs délits, dont quelques-uns sont loin d'égaler en gravité le crime des Mytiléniens. Cependant l'espérance induit à braver ce danger. C'est que tout homme qui s'y expose compte sur la réussite de ses desseins ; comme aussi toute ville qui entre-

Νομίζω δὲ
ἡμᾶς βουλεύεσθαι
περὶ τοῦ μέλλοντος
μᾶλλον ἢ τοῦ παρόντος·
καὶ τοῦτο ὃ Κλέων
ἰσχυρίζεται μάλιστα
ἔσεσθαι ξυμφέρον
ἐς τὸ λοιπὸν
προθεῖσι
θάνατον
ζημίαν
πρὸς τὸ ἧσσον ἀφίστασθαι,
καὶ αὐτὸς
ἀντισχυριζόμενος
γιγνώσκω τὰ ἐναντία
περὶ τοῦ ἔχοντος καλῶς
ἐς τὸ μέλλον.
Καὶ ἀξιῶ ὑμᾶς
οὐκ ἀπώσασθαι
τῷ εὐπρέπει
τοῦ λόγου ἐκείνου
τὸ χρήσιμον τοῦ ἐμοῦ.
Ὁ γὰρ λόγος αὐτοῦ
ὢν δικαιότερος
πρὸς
τὴν ὑμετέραν ὀργὴν νῦν
ἐς Μυτιληναίους
ἐπισπάσαιτο ἂν τάχα·
ἡμεῖς δὲ οὐ δικαζόμεθα
πρὸς αὐτούς,
ὥστε δεῖν
τῶν δικαίων,
ἀλλὰ βουλευόμεθα περὶ αὐτῶν
ὅπως ἔξουσιν
χρησίμως.

D'autre part je pense
nous délibérer
sur l'avenir
plutôt que sur le présent;
et *quant* à ce que Cléon
soutient très fort
devoir être utile
dans le reste (dans l'avenir)
à vous ayant proposé (si vous pro-
la mort [posez)
comme châtiment
pour le moins faire-défection,
moi-même aussi
soutenant-le-contraire
je pense les choses opposées,
sur ce qui est beau (avantageux)
pour l'avenir.
Et je trouve-juste vous
ne pas repousser
par *l'apparence* spécieuse
du discours de celui-là
l'utilité du (qu'offre le) mien.
Car le discours de lui
étant plus juste (de droit plus strict)
eu-égard-à
votre colère de-maintenant
contre les Mytiléniens
vous entraînerait peut-être;
mais nous, nous ne plaidons pas
contre eux,
de sorte que *nous* avons-besoin
des choses justes,
mais nous délibérons sur eux
comment ils seront
utilement (utiles) *pour nous*.

XLV. « Ἐν οὖν ταῖς πόλεσι
ζημία θανάτου πρόκειται
πολλῶν ἁμαρτημάτων
καὶ οὐκ ἴσων τῷδε
ἀλλὰ ἐλασσόνων·
ὅμως δὲ
ἐπαιρόμενοι τῇ ἐλπίδι
κινδυνεύουσι,
καὶ οὐδείς πω,
καταγοὺς ἑαυτοῦ
μὴ περιέσεσθαι
τῷ ἐπιβουλεύματι,
ἦλθεν ἐς τὸ δεινόν.
Τίς τε πόλις
ἀφισταμένη

XLV. « Donc dans les villes
peine de mort est placée-avant
beaucoup de fautes
et non égales à celle-ci
mais moindres :
et pourtant
excités par l'espérance
des hommes s'exposent-au-danger,
et personne encore
s'étant condamné lui-même
à ne pas devoir survivre
à son entreprise, [danger.
n'est venu dans (n'a encouru) le
Et quelle ville
faisant-défection

ἔχουσα τὴν παρασκευὴν ἢ οἰκείαν ἢ ἄλλων ξυμμαχίᾳ τούτῳ ἐπεχείρησε; Πεφύκασί τε ἅπαντες καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἁμαρτάνειν, καὶ οὐκ ἔστι νόμος ὅστις ἀπείρξει τούτου, ἐπεὶ διεξελήλυθασί γε διὰ πασῶν τῶν ζημιῶν οἱ ἄνθρωποι προστιθέντες, εἴ πως ἧσσον ἀδικοῖντο ὑπὸ τῶν κακούργων. Καὶ εἰκὸς τὸ πάλαι τῶν μεγίστων ἀδικημάτων μαλακωτέρας κεῖσθαι αὐτάς, παραβαινομένων δὲ τῷ χρόνῳ ἐς τὸν θάνατον αἱ πολλαὶ ἀνήκουσι· καὶ τοῦτο ὅμως παραβαίνεται. Ἢ τοίνυν δεινότερόν τι τούτου δέος εὑρετέον ἐστὶν, ἢ τόδε γε οὐδὲν ἐπίσχει, ἀλλ' ἡ μὲν πενία ἀνάγκῃ τὴν τόλμαν παρέχουσα, ἡ δ' ἐξουσία ὕβρει τὴν πλεονεξίαν καὶ φρονήματι, αἱ δ' ἄλλαι ξυντυχίαι ὀργῇ τὸν ἄνθρωπον, ὡς ἑκάστη τις κατέχεται ὑπ' ἀνηκέστου τινὸς κρείσσονος, ἐξάγουσιν ἐς τοὺς κινδύνους. Ἥ τε ἐλπὶς καὶ ὁ ἔρως ἐπὶ παντὶ, ὁ μὲν ἡγούμενος, ἡ δ' ἐφεπομένη, καὶ ὁ

prend une révolte ne le fait qu'avec la pensée de trouver en elle-même ou dans des alliances étrangères les moyens de la soutenir. Il est naturel à tous les hommes de commettre des fautes, soit comme États, soit comme individus, et il n'y a pas de loi qui puisse y mettre obstacle. On a parcouru successivement toute l'échelle des peines, en les aggravant sans cesse pour se mettre en garde contre les malfaiteurs. Il est à croire qu'autrefois elles étaient plus douces pour les plus grands crimes; mais, comme on les bravait, elles ont fini avec le temps par aboutir pour la plupart à la mort; et néanmoins on brave la mort elle-même. Il faut donc ou trouver un meilleur système d'intimidation, ou convenir que la peine de mort est une barrière illusoire. Tous les hommes sont poussés vers les dangers : le pauvre par l'audace de la nécessité; le riche par l'orgueil de l'opulence; les autres par l'irrésistible entraînement des passions dont chacun dans sa position est possédé. A ces causes si fécondes en malheurs, ajoutez encore l'espérance et la convoitise. Celle-ci ouvre la voie, celle-là s'y engage sur ses traces. L'une forme des pro-

ἐπεχείρησέ πω τούτῳ	a entrepris encore (jusqu'ici) cela
ἔχουσα τῇ δοκήσει	ayant dans son appréciation
τὴν παρασκευὴν	ses préparatifs
ἢ οἰκείαν	ou domestiques [gers)
ἢ ξυμμαχίᾳ ἄλλων	ou par alliance d'autres (d'étran-
ἥσσω ;	insuffisants ?
Ἅπαντές τε πεφύκασιν	Et tous sont faits-naturellement
ἁμαρτάνειν	pour faillir
καὶ ἰδίᾳ καὶ δημοσίᾳ,	et privément et publiquement,
καὶ οὐκ ἔστι νόμος	et il n'est pas de loi
ὅστις ἀπείρξει τούτου,	qui préservera de cela,
ἐπεὶ οἱ ἄνθρωποι	puisque les hommes
διεξεληλύθασί γε	ont passé certes
διὰ πασῶν τῶν ζημιῶν	par toutes les peines
προστιθέντες,	en ajoutant de *nouvelles*,
εἴ πῶς	*pour voir* si en-quelque-manière
ἀδικοῖντο ἧσσον	ils seraient lésés moins
ὑπὸ τῶν κακουργῶν.	par les malfaiteurs.
Καὶ εἰκὸς	Et *il est* vraisemblable
αὐτὰς τῶν μεγίστων ἀδικημάτων	celles des plus grandes fautes
κεῖσθαι μαλακωτέρας	être établies plus douces
τὸ πάλαι,	dans le *temps* jadis, [(bravées)
παραβαινομένων δὲ	mais *ces peines* étant transgressées
αἱ πολλαὶ ἀνήκουσιν	la plupart aboutissent
ἐς τὸν θάνατον	à la mort
τῷ χρόνῳ ·	par le temps (à la longue);
καὶ τοῦτο ὅμως παραβαίνεται.	et cela pourtant est transgressé.
Ἦ τοίνυν τι δέος	Ou donc quelque crainte,
δεινότερον τούτου	plus terrible que celle-là
ἐστὶν εὑρετέον,	est à-trouver, [certes
ἢ τόδε γε	ou *il faut reconnaître que* celle-ci
ἐπίσχει οὐδὲν,	n'arrête rien,
ἀλλὰ ἡ μὲν πενία	mais la pauvreté d'une part
παρέχουσα τὴν τόλμαν	inspirant l'audace
ἀνάγκῃ,	par nécessité,
ἡ δὲ ἐξουσία	d'autre part la puissance
τὴν πλεονεξίαν	*inspirant* la cupidité
ὕβρει καὶ φρονήματι,	par insolence et orgueil,
αἱ δὲ ἄλλαι ξυντυχίαι	d'autre part les autres situations
ὀργῇ	par une violente-passion
ἐξάγουσι τὸν ἄνθρωπον	poussent l'homme
ἐς τοὺς κινδύνους,	dans les dangers,
ὡς ἑκάστη τις	selon-que chacune *de ces situations*
κατέχεται ὑπό τινος	est dominée par quelque *passion*
ἀνηκέστου	incurable
κρείσσονος.	*et* plus puissante.
Ἥ τε ἐλπὶς καὶ ὁ ἔρως	Et l'espérance et la convoitise
ἐπὶ παντὶ,	dessus le tout,
ὁ μὲν ἡγούμενος,	l'une conduisant,
ἡ δὲ ἑφεπομένη,	l'autre suivant,

μὲν τὴν ἐπιβολὴν ἐκφροντίζων, ἡ δὲ τὴν εὐπορίαν τῆς τύχης ὑποτιθεῖσα, πλεῖστα βλάπτουσι, καὶ ὄντα ἀφανῆ κρείσσω ἐστὶ τῶν ὁρωμένων δεινῶν. Καὶ ἡ τύχη ἐπ' αὐτοῖς οὐδὲν ἔλασσον ξυμβάλλεται ἐς τὸ ἐπαίρειν· ἀδοκήτως γὰρ ἔστιν ὅτε παριστα-μένη καὶ ἐκ τῶν ὑποδεεστέρων κινδυνεύειν τινὰ προάγει καὶ οὐχ ἧσσον τὰς πόλεις, ὅσῳ περὶ τῶν μεγίστων, ἐλευθερίας ἢ ἄλλων ἀρχῆς, καὶ μετὰ πάντων ἕκαστος ἀλογίστως ἐπὶ πλέον τι αὑτὸν ἐδόξασεν. Ἁπλῶς τε ἀδύνατον καὶ πολλῆς εὐηθείας, ὅστις οἴεται τῆς ἀνθρωπείας φύσεως ὁρμωμένης προθύμως τι πρᾶξαι ἀποτροπήν τινα ἔχειν ἢ νόμων ἰσχύϊ ἢ ἄλλῳ τῳ δεινῷ.

XLVI. « Οὐκ οὖν χρὴ οὔτε τοῦ θανάτου τῇ ζημίᾳ ὡς ἐχεγγύῳ πιστεύσαντας χεῖρον βουλεύσασθαι, οὔτε ἀνέλπιστον καταστῆσαι τοῖς ἀποστᾶσιν ὡς οὐκ ἔσται[1] μεταγνῶναι καὶ ὅτι ἐν βραχυτάτῳ τὴν ἁμαρτίαν καταλῦσαι. Σκέψασθε γὰρ ὅτι νῦν μὲν, ἤν τις καὶ ἀποστᾶσα πόλις γνῷ μὴ περιεσομένη, ἔλθοι ἂν ἐς ξύμβασιν δυνατὴ οὖσα ἔτι τὴν δαπάνην ἀποδοῦναι

jets, l'autre compte sur le hasard pour les réaliser ; et, comme elles agissent dans l'ombre, elles sont plus redoutables que les dangers manifestes. Enfin la fortune y joint ses excitations. Quelquefois elle surgit à l'improviste et précipite les faibles dans le péril. C'est surtout le cas pour les États, parce qu'il s'agit pour eux des plus grands intérêts, la liberté ou l'empire ; et que chaque citoyen, se voyant appuyé par la masse, s'exagère follement ses propres forces. En un mot, il est absurde, il serait d'une insigne naïveté de croire que la nature humaine, une fois lancée à la poursuite de quelque objet, se laissera maîtriser par le frein des lois ou par toute autre crainte.

XLVI. « Il ne faut donc pas, par trop de confiance en l'efficacité de la peine de mort, prendre une résolution fâcheuse, en ôtant aux insurgés toute idée de repentir et d'une prompte réparation de leur faute. Réfléchissez que, dans l'état actuel des choses, lorsqu'une ville révoltée se voit dans l'impossibilité de résister, elle capitule pendant qu'elle est encore à même de rembourser

καὶ ὁ μὲν ἐκφροντίζων
τὴν ἐπιβολήν,
ὁ δὲ ὑποτιθεῖσα
τὴν εὐπορίαν τῆς τυχῆς,
βλάπτουσι πλεῖστα,
καὶ ὄντα ἀφανῆ
ἐστι κρείσσω
τῶν δεινῶν ὁρωμένων.
Καὶ ἡ τύχη ἐπὶ αὐτοῖς
ξυμβάλλεται οὐδὲν ἔλασσον
ἐς τὸ ἐπαίρειν·
ἔστι γὰρ ὅτε
παρισταμένη ἀδοκήτως
προάγει τινὰ
κινδυνεύειν
καὶ ἐκ τῶν ὑποδεεστέρων
καὶ οὐχ ἧσσον τὰς πόλεις,
ὅσῳ περὶ τῶν μεγίστων,
ἐλευθερίας
ἢ ἀρχῆς ἄλλων,
καὶ ἕκαστος μετὰ πάντων
ἐδόξασεν αὐτὸν
ἀλογίστως
ἐπί τι πλέον.
Ἁπλῶς τε ἀδύνατον
καὶ πολλῆς εὐηθείας,
ὅστις οἴεται
τῆς φύσεως ἀνθρωπείας
ὁρμωμένης προθυμῶς
πρᾶξαί τι,
ἔχειν τινὰ ἀποτροπὴν
ἢ ἰσχύϊ νόμων
ἢ τῳ ἄλλῳ δεινῷ.
XLVI. « Οὐ χρὴ οὖν
οὔτε πιστεύσαντας
τῇ ζημίᾳ τοῦ θανάτου
ὡς ἐχεγγύῳ
βουλεύσασθαι χεῖρον,
οὔτε καταστῆσαι ἀνέλπιστον
τοῖς ἀποστᾶσιν
ὡς οὐκ ἔσται
μεταγνῶναι
καὶ καταλῦσαι τὴν ἁμαρτίαν
ἐν ὅτι βραχυτάτῳ.
Σκέψασθε γὰρ ὅτι
νῦν μὲν,
ἤν τις πόλις καὶ ἀποστᾶσα
γνῷ μὴ περιεσομένη,
ἔλθοι ἂν ἐς ξύμβασιν
οὖσα ἔτι δυνατὴ

et l'une méditant
le moyen-d'-entreprendre,
l'autre suggérant
la facilité du hasard,
nuisent très fort,
et *tout en* étant invisibles
sont plus puissantes
que les dangers qui sont vus.
Et la fortune outre ces choses,
ne contribue en rien moins
à exciter *les esprits* ;
car il arrive que
se présentant à-l'-improviste
elle pousse quelqu'un
à s'-exposer-au-danger [*sources*
même avec les plus faibles *res-*
et non moins les villes,
d'autant que *c'est* pour les plus
la liberté grandes choses,
ou l'empire d'autres *peuples*,
et *que* chacun avec (uni à) tous
s'est apprécié soi-même
sans-réflexion [*mérite.*
à quelque chose de plus *qu'il ne*
Et en-un-mot *il est* impossible
et d'une grande simplicité,
quiconque croit (que de croire)
la nature humaine
se-lançant avec-ardeur
à faire quelque chose, [tourner
avoir quelque moyen-de-*là*-dé-
ou par la force des lois
ou par quelque autre danger.
XLVI. « Il ne faut donc
ni *nous* étant fiés
à la peine de la mort
comme à une garantie
décider une chose pire,
ni rendre sans-espoir
pour ceux qui ont fait-défection
comme quoi il ne sera pas-possible
de se-repentir [(la possibilité)
et d'effacer leur faute
dans le *temps* le plus court possible.
Car examinez que
maintenant d'une part, [fection
si quelque ville aussi ayant fait-dé-
reconnaît ne devant pas avoir-le-
elle viendrait à composition [dessus,
étant encore capable

καὶ τὸ λοιπὸν ὑποτελεῖν· ἐκείνως δὲ τίνα οἴεσθε ἥντινα οὐκ ἄμεινον μὲν ἢ νῦν παρασκευάσεσθαι, πολιορκίᾳ τε παρατενεῖσθαι ἐς τοὔσχατον, εἰ τὸ αὐτὸ δύναται σχολῇ καὶ ταχὺ ξυμβῆναι; Ἡμῖν τε πῶς οὐ βλάβη δαπανᾶν καθημένοις διὰ τὸ ἀξύμβατον, καὶ ἣν ἕλωμεν πόλιν, ἐφθαρμένην παραλαβεῖν καὶ τῆς προσόδου τὸ λοιπὸν ἀπ' αὐτῆς στέρεσθαι; ἰσχύομεν δὲ πρὸς τοὺς πολεμίους τῷδε. Ὥστε οὐ δικαστὰς ὄντας δεῖ ἡμᾶς μᾶλλον τῶν ἐξαμαρτανόντων ἀκριβεῖς βλάπτεσθαι, ἢ ὁρᾶν ὅπως, ἐς τὸν ἔπειτα χρόνον μετρίως κολάζοντες, ταῖς πόλεσιν ἔξομεν ἐς χρημάτων λόγον ἰσχυούσαις χρῆσθαι, καὶ τὴν φυλακὴν μὴ ἀπὸ τῶν νόμων τῆς δεινότητος ἀξιοῦν ποιεῖσθαι, ἀλλ' ἀπὸ τῶν ἔργων τῆς ἐπιμελείας. Οὗ νῦν τἀναντία δρῶντες, ἢν τινα ἐλεύθερον καὶ βίᾳ ἀρχόμενον εἰκότως πρὸς αὐτονομίαν ἀποστάντα χειρωσώμεθα, χαλεπῶς οἰόμεθα χρῆναι τιμωρεῖσθαι. Χρὴ δὲ τοὺς ἐλευθέρους οὐκ ἀφισταμένους σφόδρα κολάζειν, ἀλλὰ πρὶν ἀποστῆναι σφόδρα

les frais de la guerre et de payer le tribut pour l'avenir; mais, dans l'autre hypothèse, croyez-vous qu'il y en eût une seule qui ne fît les plus grands préparatifs et ne se défendît jusqu'à la dernière extrémité, s'il ne devait y avoir aucune différence entre une prompte soumission et une résistance désespérée? Et comment ne serait-ce pas un dommage pour nous de faire à grands frais le siège d'une place déterminée à ne pas se rendre, ou, si nous la prenons, de la trouver ruinée et de perdre pour toujours les subsides qu'elle nous fournissait? Ce sont pourtant ces tributs qui soutiennent notre puissance. Gardons-nous donc de nous nuire à nous-mêmes en frappant les coupables avec la dernière sévérité. Cherchons plutôt, par des punitions mitigées à laisser aux villes des ressources pécuniaires suffisantes. Plaçons notre sûreté, non dans la rigidité de nos lois, mais dans la vigilance de nos actes. Aujourd'hui nous faisons l'inverse. Si un peuple libre, assujetti à notre empire, essaye — comme c'est naturel — de s'y soustraire, et que nous parvenions à le réduire, nous nous croyons obligés de le punir sévèrement. Ce qu'il faudrait, ce n'est pas de châtier avec rigueur des hommes libres qui se ré-

ἀποδοῦναι τὴν δαπάνην
καὶ ὑποτελεῖν
τὸ λοιπόν·
ἐκείνως δὲ
τίνα οἴεσθε ἥντινα
οὐ μὲν παρασκευάσεσθαι
ἄμεινον ἢ νῦν,
παρατενεῖσθαί τε
πολιορκίᾳ
ἐς τὸ ἔσχατον,
εἰ ξυμβῆναι
σχολῇ καὶ ταχὺ
δύναται τὸ αὐτό;
Πῶς τε
οὐ βλάβη ἡμῖν
δαπανᾶν καθημένοις
διὰ τὸ ἀξύμβατον,
καὶ ἢν ἕλωμεν πόλιν,
παραλαβεῖν ἐφθαρμένην,
καὶ στέρεσθαι τὸ λοιπὸν
τῆς προσόδου ἀπὸ αὐτῆς;
ἰσχύομεν δὲ τῷδε
πρὸς τοὺς πολεμίους.
Ὥστε οὐ δεῖ
ἡμᾶς ὄντας δικαστὰς ἀκριβεῖς
τῶν ἐξαμαρτανόντων
βλάπτεσθαι μᾶλλον,
ἢ ὁρᾶν ὅπως,
ἐς τὸν χρόνον ἔπειτα
κολάζοντες μετρίως,
ἐξόμεν χρῆσθαι ταῖς πόλεσιν
ἰσχυούσαις
ἐς λόγον χρημάτων,
καὶ μὴ ἀξιοῦν
ποιεῖσθαι τὴν φυλακὴν
ἀπὸ τῆς δεινότητος τῶν νόμων,
ἀλλὰ ἀπὸ τῆς ἐπιμελείας
τῶν ἔργων.
Οὗ δρῶντες νῦν
τὰ ἐναντία,
ἢν χειρωσώμεθά
τινα ἐλεύθερον
καὶ ἀρχόμενον βίᾳ
ἀποστάντα εἰκότως
πρὸς αὐτονομίαν,
οἰόμεθα χρῆναι
τιμωρεῖσθαι χαλεπῶς.
Χρὴ δὲ
οὐ κολάζειν σφόδρα
τοὺς ἐλευθέρους ἀφισταμένους,

de rendre la dépense
et de payer-tribut
pour le reste (pour l'avenir);
mais de-cette-façon-là [qu'elle-soit
quelle *ville* croyez-vous quelle-
d'une part ne pas devoir se prépa-
mieux que maintenant, [rer
et *ne pas* devoir prolonger
le siège (la résistance)
jusqu'au dernier *moment*,
si traiter
tard et (ou) tôt [effet)?
vaut la même chose (a le même
Et comment
ne *serait-il* pas du dommage à nous
de dépenser *en* assiégeant [ter,
à cause de l'impossibilité-de-trai-
et si nous prenons une ville,
de *la* recevoir ruinée, [nir)
et d'être privés *pour* le reste (l'ave-
du revenu d'elle ? [(ces revenus)
or nous sommes-puissants par cela
contre les ennemis.
De-sorte-qu'il ne faut pas
nous étant juges rigoureux
de ceux commettant-des-fautes
être lésés plutôt
que de voir comment
dans le temps *d'*ensuite
châtiant modérément
nous pourrons nous servir des villes
étant-puissantes
au point-de-vue de l'argent,
et il ne *faut* pas croire devoir
faire la garde
par la rigueur des lois,
mais par la vigilance
des actes. [nant
De laquelle chose faisant mainte-
le contraire,
si nous soumettons
quelque *peuple* libre
et gouverné de force
ayant-fait-défection naturellement
pour *recouvrer son* indépendance,
nous pensons falloir
le punir durement.
Or il faut
ne pas châtier fort
les *hommes* libres faisant-défection,

φυλάσσειν καὶ προκαταλαμβάνειν ὅπως μηδ' ἐς ἐπίνοιαν τούτου ἴωσι, κρατήσαντάς τε ὅτι ἐπ' ἐλάχιστον τὴν αἰτίαν ἐπιφέρειν.

XLVII. « Ὑμεῖς δὲ σκέψασθε ὅσον ἂν καὶ τοῦτο ἁμαρτάνοιτε Κλέωνι πειθόμενοι. Νῦν μὲν γὰρ ὑμῖν ὁ δῆμος ἐν πάσαις ταῖς πόλεσιν εὔνους ἐστὶ καὶ ἢ οὐ ξυναφίσταται τοῖς ὀλίγοις ἢ, ἐὰν βιασθῇ, ὑπάρχει τοῖς ἀποστήσασι πολέμιος εὐθύς, καὶ τῆς ἀντικαθισταμένης πόλεως τὸ πλῆθος ξύμμαχον ἔχοντες ἐς πόλεμον ἐπέρχεσθε. Εἰ δὲ διαφθερεῖτε τὸν δῆμον τῶν Μυτιληναίων, ὃς οὔτε μετέσχε τῆς ἀποστάσεως, ἐπειδή τε ὅπλων ἐκράτησεν, ἐκὼν παρέδωκε τὴν πόλιν[1], πρῶτον μὲν ἀδικήσετε τοὺς εὐεργέτας κτείνοντες, ἔπειτα καταστήσετε τοῖς δυνατοῖς τῶν ἀνθρώπων ὃ βούλονται μάλιστα· ἀφιστάντες γὰρ τὰς πόλεις, τὸν δῆμον εὐθὺς ξύμμαχον ἕξουσι, προδειξάντων ὑμῶν τὴν αὐτὴν ζημίαν τοῖς τε ἀδικοῦσιν ὁμοίως κεῖσθαι καὶ τοῖς μή. Δεῖ δὲ, καὶ εἰ ἠδίκησαν, μὴ προσποιεῖσθαι[2], ὅπως ὃ μόνον ἡμῖν ἔτι ξύμμαχόν ἐστι μὴ πολέμιον

voltent, mais de les garder avec rigueur avant leur rébellion, afin de leur en ôter jusqu'à la pensée, ou, après les avoir soumis, de n'imputer leur crime qu'au petit nombre.

XLVII. « Considérez encore quelle énorme faute vous commettriez en suivant l'avis de Cléon. Pour le moment, dans toutes les villes, le peuple a de la sympathie pour vous ; il ne se joint pas aux soulèvements des aristocrates, ou, s'il y est contraint, il ne tarde pas à se tourner contre ceux qui l'y ont poussé ; en sorte que vous avez un auxiliaire dans la population des villes que vous allez combattre. Mais si vous frappez le peuple de Mytilène, qui n'a point trempé dans la rébellion, et qui n'a pas plutôt eu des armes qu'il s'est empressé de vous ouvrir les portes, d'abord vous commettrez une injustice en immolant des bienfaiteurs, ensuite vous donnerez beau jeu aux aristocrates. Sitôt qu'ils voudront insurger un État, ils auront le peuple pour eux, parce que vous aurez montré que la même punition attend les innocents comme les coupables. Et quand le peuple serait coupable, encore faudrait-il fermer les yeux, afin de ne pas nous

ἀλλὰ φυλάσσειν σφόδρα
πρὶν ἀποστῆναι
καὶ προκαταλαμβάνειν
ὅπως μηδὲ ἴωσιν
ἐς ἐπίνοιαν τούτου,
κρατήσαντάς τε
ἐπιφέρειν τὴν αἰτίαν
ἐπὶ ὅτι ἐλάχιστον.

mais veiller fort
avant *eux* faire-défection
et prévenir
afin qu'ils ne viennent même-pas
à la pensée de cela (de la défection),
et *il faut nous* étant-vainqueurs
imputer la faute
sur le plus petit *nombre* possible.

XLVII. « Ὑμεῖς δὲ σκέψασθε
ὅσον ἁμαρτάνοιτε ἂν
καὶ τοῦτο
πειθόμενοι Κλέωνι.
Νῦν μὲν γὰρ
ὁ δῆμος ἐν πάσαις ταῖς πόλεσιν
ἐστὶν εὔνους ὑμῖν
καὶ ἢ οὐ ξυναφίσταται
τοῖς ὀλίγοις
ἢ, ἐὰν βιασθῇ,
ὑπάρχει εὐθὺς
πολέμιος τοῖς ἀποστήσασι,
καὶ ἐπέρχεσθε ἐς πόλεμον
ἔχοντες ξύμμαχον
τὸ πλῆθος τῆς πόλεως
ἀντικαθισταμένης.
Εἰ δὲ διαφθερεῖτε
τὸν δῆμον τῶν Μυτιληναίων,
ὃς οὔτε μετέσχε
τῆς ἀποστάσεως,
ἐπειδή τε ἐκράτησεν
ὅπλων,
παρέδωκεν ἑκὼν
τὴν πόλιν,
πρῶτον μὲν ἀδικήσετε
κτείνοντες τοὺς εὐεργέτας,
ἔπειτα καταστήσετε
τοῖς δυνατοῖς τῶν ἀνθρώπων
ὃ βούλονται μάλιστα·
ἀφίσταντες γὰρ τὰς πόλεις,
ἕξουσιν εὐθὺς τὸν δῆμον
ξύμμαχον,
ὑμῶν προδειξάντων
τὴν αὐτὴν ζημίαν
κεῖσθαι ὁμοίως
τοῖς τε ἀδικοῦσι
καὶ τοῖς μή.
Δεῖ δὲ,
καὶ εἰ ἠδίκησαν.
προσποιεῖσθαι μὴ,
ὅπως ὃ μόνον
ἔστιν ἔτι ξύμμαχον ἡμῖν

XLVII. « Vous d'autre part con-
combien vous failliriez [sidérez
encore en ceci
en obéissant à Cléon.
Maintenant d'une part en effet
le peuple dans toutes les villes
est bienveillant pour vous
et ou ne fait-pas-défection-avec
les peu-nombreux (l'oligarchie)
ou, s'il *y* est contraint,
il devient aussitôt [fection,
ennemi à (de) ceux qui ont fait-dé-
et vous allez en guerre
ayant *pour* alliée
la multitude de la ville
qui-est-adversaire.
D'autre part si vous faites-périr
le peuple des Mytiléniens,
lequel et-n'a pas participé
à la défection,
et après qu'il s'est emparé
des armes,
a remis volontaire (volontairement)
la ville, [justement
d'une part d'abord vous agirez-in-
en tuant vos bienfaiteurs,
ensuite vous établirez (vous ferez)
pour les puissants d'entre les hom-
ce qu'ils veulent le plus : [mes
car poussant-à-la-défection les vil-
ils auront aussitôt le peuple [les,
comme allié,
vous ayant montré-antérieurement
la même peine
être établie semblablement
et pour ceux agissant-injustement
et pour ceux n'*agissant* pas *ainsi*.
D'autre part il faut,
même s'ils ont agi-injustement,
feindre *que* non,
afin que *ce qui* seul
est encore allié à nous

γένηται. Καὶ τοῦτο πολλῷ ξυμφορώτερον ἡγοῦμαι ἐς τὴν κάθεξιν τῆς ἀρχῆς, ἑκόντας ἡμᾶς ἀδικηθῆναι ἢ δικαίως οὓς μὴ δεῖ διαφθεῖραι· καὶ τὸ Κλέωνος τὸ αὐτὸ δίκαιον καὶ ξύμφορον τῆς τιμωρίας οὐχ εὑρίσκεται ἐν αὐτῷ δυνατὸν ὂν ἅμα γίγνεσθαι.

XLVIII. « Ὑμεῖς δὲ γνόντες ἀμείνω τάδε εἶναι καὶ μήτε οἴκτῳ πλέον νείμαντες μήτ' ἐπιεικείᾳ, οἷς οὐδὲ ἐγὼ ἐῶ προσάγεσθαι, ἀπ' αὐτῶν δὲ τῶν παραινουμένων πείθεσθέ μοι Μυτιληναίων οὓς μὲν Πάχης ἀπέπεμψεν ὡς ἀδικοῦντας κρῖναι καθ' ἡσυχίαν, τοὺς δ' ἄλλους ἐᾶν οἰκεῖν. Τάδε γὰρ ἔς τε τὸ μέλλον ἀγαθὰ καὶ τοῖς πολεμίοις ἤδη φοβερά· ὅστις γὰρ εὖ βουλεύεται πρὸς τοὺς ἐναντίους κρείσσων ἐστὶν ἢ μετ' ἔργων ἰσχύος ἀνοίᾳ ἐπιών. »

XLIX. Τοιαῦτα δὲ ὁ Διόδοτος εἶπε. Ῥηθεισῶν δὲ τῶν γνωμῶν τούτων μάλιστα ἀντιπάλων πρὸς ἀλλήλας, οἱ Ἀθηναῖοι ἦλθον μὲν ἐς ἀγῶνα ὅμως τῆς δόξης καὶ ἐγένοντο ἐν τῇ

aliéner le seul allié qui nous reste. Enfin je crois qu'il est beaucoup plus avantageux pour le maintien de notre empire d'endurer patiemment une offense que de frapper, avec toute la rigueur du droit, des hommes que nous devons épargner. Cléon a beau dire, il est impossible que, dans ce châtiment, l'intérêt se rencontre avec la justice.

XLVIII. « Reconnaissez donc la supériorité de mon avis; et sans trop accorder à la pitié ni à l'indulgence, — contre lesquelles je serais le premier à vous prémunir, — écoutez uniquement la voix de la raison. Jugez de sang-froid ceux des Mytiléniens que Pachès a envoyés comme coupables, et laissez les autres dans leurs foyers. C'est pour l'avenir le parti le plus sage, et c'est celui qui dans le présent effrayera le plus nos ennemis. Contre des adversaires, la prudence est une arme plus sûre que la force aveugle. »

XLIX. Ainsi parla Diodote. Les Athéniens, après avoir entendu ces deux opinions contradictoires, demeurèrent indécis,

μὴ γένηται πολέμιον.
Καὶ ἡγοῦμαι τοῦτο
πολλῷ ξυμφορώτερον
ἐς τὴν κάθεξιν τῆς ἀρχῆς,
ἡμᾶς ἀδικηθῆναι
ἑκόντας
ἢ διαφθεῖραι δικαίως
οὓς μὴ δεῖ·
καὶ τὸ Κλέωνος
τὸ αὐτὸ τῆς τιμωρίας
δίκαιον
καὶ ξύμφορον
οὐχ εὑρίσκεται
ὂν δύνατον γίγνεσθαι ἅμα
ἐν αὐτῷ.

XLVIII. « Ὑμεῖς δὲ γνόντες
τάδε εἶναι ἀμείνω
καὶ νείμαντες πλέον
μήτε οἴκτῳ
μήτε ἐπιεικείᾳ,
οἷς οὐδὲ ἐγὼ
ἐῶ προσάγεσθαι,
ἀπὸ δὲ αὐτῶν
παραινουμένων
πείθεσθέ μοι
κρῖναι κατὰ ἡσυχίαν
Μυτιληναίων
οὓς μὲν Πάχης ἀπέπεμψεν
ὡς ἀδικοῦντας,
ἐᾶν δὲ τοὺς ἄλλους
οἰκεῖν.
Τάδε γὰρ
ἀγαθά τε ἔς τὸ μέλλον
καὶ φοβερὰ ἤδη
τοῖς πολεμίοις·
ὅστις γὰρ βουλεύεται εὖ
πρὸς τοὺς ἐναντίους
ἐστὶν κρείσσων
ἢ ἐπιὼν ἀνοίᾳ
μετὰ ἰσχύος ἔργων. »

XLIX. Ὁ δὲ Διόδοτος
εἶπε τοιαῦτα·
τούτων δὲ τῶν γνωμῶν
μάλιστα ἀντιπάλων
πρὸς ἀλλήλας
ῥηθεισῶν,
οἱ Ἀθηναῖοι
ἦλθον μὲν ὅμως
ἐς ἀγῶνα τῆς δόξης
καὶ ἐγένοντο ἀγχώμαλοι

ne devienne pas ennemi.
Et je pense ceci
être beaucoup plus utile
pour le maintien de notre empire
à savoir nous être lésés
volontaires (volontairement)
que de faire-périr justement
ceux qu'il ne faut pas *faire périr* ;
et ce *mot* de Cléon
la même chose de la vengeance (la
être juste [même vengeance)
et utile
n'est pas trouvé [me-temps
étant susceptible d'exister en-même-
dans cela.

XLVIII. « Or vous ayant reconnu
ces choses-ci être meilleures [*faut*
et *n'*ayant accordé plus *qu'il ne*
ni à la compassion
ni à l'indulgence,
par lesquelles pas-même moi
je permets *vous* être attirés,
mais par-suite des choses mêmes
étant conseillées
obéissez à (écoutez) moi *conseillant*
de juger en repos (de sang-froid)
ceux d'entre les Mytiléniens
que d'une part Pachès a envoyés
comme agissant-injustement,
d'autre part de laisser les autres
habiter *leur patrie*.
Car ces choses *sont*
et bonnes pour l'avenir
et redoutables dès-maintenant
pour les ennemis :
car quiconque délibère bien
contre les ennemis
est plus puissant
qu'attaquant sans-intelligence
avec la force des actes (matériel-
XLIX. Or Diodote [le). »
dit des choses telles :
et ces avis
tout à fait égaux-en-force
l'un par rapport-à-l'autre
ayant été exprimés,
les Athéniens
vinrent d'une part pourtant
en lutte de l'opinion
et furent presque-égaux-en-nombre

χειροτονίᾳ ἀγχώμαλοι, ἐκράτησε δὲ ἡ τοῦ Διοδότου. Καὶ τριήρη εὐθὺς ἄλλην ἀπέστελλον κατὰ σπουδὴν, ὅπως μὴ φθασάσης τῆς προτέρας εὕρωσι διεφθαρμένην τὴν πόλιν· προεῖχε δὲ ἡμέρᾳ καὶ νυκτὶ μάλιστα. Παρασκευασάντων δὲ τῶν Μυτιληναίων πρέσβεων τῇ νηὶ οἶνον καὶ ἄλφιτα, καὶ μεγάλα ὑποσχομένων εἰ φθάσαιεν, ἐγένετο σπουδὴ τοῦ πλοῦ τοιαύτη ὥστε ἦσθιόν τε ἅμα ἐλαύνοντες οἴνῳ καὶ ἐλαίῳ ἄλφιτα πεφυραμένα, καὶ οἱ μὲν ὕπνον ἥροῦντο κατὰ μέρος, οἱ δὲ ἤλαυνον. Κατὰ τύχην δὲ πνεύματος οὐδενὸς ἐναντιωθέντος καὶ τῆς μὲν προτέρας νεὼς οὐ σπουδῇ πλεούσης ἐπὶ πρᾶγμα ἀλλόκοτον, ταύτης δὲ τοιούτῳ τρόπῳ ἐπειγομένης, ἡ μὲν ἔφθασε τοσοῦτον ὅσον Πάχητα ἀνεγνωκέναι τὸ ψήφισμα καὶ μέλλειν δράσειν τὰ δεδογμένα, ἡ δ' ὑστέρα αὐτῆς ἐπικατάγεται καὶ διεκώλυσε μὴ [1] διαφθεῖραι. Παρὰ τοσοῦτον μὲν ἡ Μυτιλήνη ἦλθε κινδύνου.

et les voix se partagèrent presque à égalité. Néanmoins l'avis de Diodote prévalut. On expédia donc en toute hâte une nouvelle trirème, de peur que l'autre, qui avait un jour et une nuit d'avance, n'arrivât la première, et que les Mytiléniens ne fussent égorgés. Les députés de Mytilène approvisionnèrent le bâtiment de vin et de farine; ils promirent à l'équipage une forte récompense s'il arrivait à temps. Aussi les matelots firent-ils une telle diligence, que, tout en ramant, ils mangeaient de la farine délayée dans du vin et de l'huile, se relevant alternativement pour ramer et pour dormir. Par bonheur, aucun vent ne contraria leur marche. D'ailleurs le premier vaisseau, porteur d'un message de deuil, ne s'était guère pressé, tandis que l'autre faisait force de rames. Le premier ne devança donc le second que du temps nécessaire à Pachès pour lire le décret et se mettre en devoir de l'exécuter; l'arrivée du second l'arrêta. A cela tint que Mytilène ne fût détruite.

ἐν τῇ χειροτονίᾳ,
ἡ δὲ τοῦ Διοδότου
ἐκράτησε.
Καὶ εὐθὺς ἀπέστελλον
ἄλλην τριήρη
κατὰ σπουδὴν,
ὅπως τῆς προτέρας
μὴ φθασάσης
εὕρωσι τὴν πόλιν
διεφθαρμένην·
προεῖχε δὲ
ἡμέρᾳ καὶ νυκτὶ μάλιστα.
Τῶν δὲ πρέσβεων Μυτιληναίων.
παρασκευασάντων τῇ νηΐ
οἶνον καὶ ἄλφιτα,
καὶ ὑποσχομένων μεγάλα
εἰ φθάσαιεν,
σπουδὴ τοῦ πλοῦ
ἐγένετο τοιαύτη
ὥστε ἤσθιόν τε
ἅμα ἐλαύνοντες
ἄλφιτα πεφυραμένα
οἴνῳ καὶ ἐλαίῳ,
καὶ οἱ μὲν ἠροῦντο ὕπνον
κατὰ μέρος,
οἱ δὲ ἤλαυνον.
Κατὰ τύχην δὲ
οὐδενὸς πνεύματος
ἐναντιωθέντος
καὶ τῆς μὲν προτέρας νεὼς
οὐ πλεούσης σπουδῇ
ἐπὶ πρᾶγμα ἀλλόκοτον,
ταύτης δὲ ἐπειγομένης
τοιούτῳ τρόπῳ,
ἡ μὲν ἔφθασε
τοσοῦτον ὅσον
Πάχητα ἀνεγνωκέναι
τὸ ψήφισμα
καὶ μέλλειν δράσειν
τὰ δεδογμένα,
ἡ δὲ ἐπικατάγεται
ὑστέρα αὐτῆς
καὶ διεκώλυσε μὴ διαφθεῖραι.
Ἡ μὲν Μυτιλήνη ἦλθε
παρὰ τοσοῦτον κινδύνου.

dans le vote,
cependant celui de Diodote
prévalut.
Et aussitôt ils envoyaient
une autre trière
en hâte,
afin que la première
n'ayant pas devancé
ils *ne* trouvassent *pas* la ville
détruite :
or la *première* précédait
d'un jour et d'une nuit environ.
D'autre part les députés mytilé-
ayant fourni au navire [niens
vin et farines, [*penses*
et ayant promis de grandes *récom-*
si ils (les matelots) devançaient,
l'ardeur de la navigation [*l'autre*,
fut telle
que et ils mangeaient [mant)
tout en poussant le *navire* (en ra-
des farines délayées
dans du vin et de l'huile,
et *que* les uns prenaient du sommeil
par partie (tour à tour),
et que les autres poussaient *le na-*
Et par hasard [*vire* (ramaient).
aucun souffle
ne s'étant opposé
et d'une part le premier navire
ne naviguant pas avec hâte
vers une affaire (mission) étrange,
et celui-là se pressant
d'une telle manière,
l'un devança
autant que (juste assez pour)
Pachès avoir lu
le décret
et s'apprêter à faire
les choses résolues,
l'autre arrive-après
postérieur à celui-ci
et il empêcha de détruire *la ville*.
Mytilène d'une part vint
auprès d'autant de danger.

XI. LES TROUBLES DE CORCYRE ET L'ÉTAT MORAL DE LA GRÈCE.

(Liv. III, §§ 81-83.)

LXXXI. Οἱ μὲν οὖν Πελοποννήσιοι τῆς νυκτὸς εὐθὺς κατὰ τάχος ἐκομίζοντο[1] ἐπ' οἴκου παρὰ τὴν γῆν· καὶ ὑπερενεγκόντες τὸν Λευκαδίων ἰσθμὸν[2] τὰς ναῦς, ὅπως μὴ περιπλέοντες ὀφθῶσιν, ἀποκομίζονται. Κερκυραῖοι δὲ αἰσθόμενοι τάς τε Ἀττικὰς ναῦς προσπλεούσας τάς τε τῶν πολεμίων οἰχομένας, λαβόντες τούς τε Μησσηνίους[3] ἐς τὴν πόλιν ἤγαγον πρότερον ἔξω ὄντας, καὶ τὰς ναῦς περιπλεῦσαι κελεύσαντες ἃς ἐπλήρωσαν ἐς τὸν Ὑλλαϊκὸν λιμένα[4], ἐν ὅσῳ περιεκομίζοντο, τῶν ἐχθρῶν εἴ τινα λάβοιεν, ἀπέκτεινον[5]· καὶ ἐκ τῶν νεῶν ὅσους ἔπεισαν ἐσβῆναι ἐκβιβάζοντες ἀπεχρῶντο, ἐς τὸ Ἡραιόν τε ἐλθόντες, τῶν ἱκετῶν ὡς πεντήκοντα ἄνδρας δίκην ὑποσχεῖν ἔπεισαν καὶ κατέγνωσαν πάντων θάνατον. Οἱ δὲ πολλοὶ τῶν

XI

LXXXI. Les Péloponnésiens se hâtèrent donc de partir cette nuit même. Ils serrèrent la côte, firent passer leurs vaisseaux par-dessus l'isthme de Leucade, parce qu'ils craignaient d'être découverts en doublant le cap, et regagnèrent leurs foyers. Quand les Corcyréens connurent l'arrivée de la flotte athénienne et la retraite des ennemis, ils firent entrer dans la ville les Messéniens, qui jusque-là étaient restés dehors, et envoyèrent dans le port Hyllaïque les vaisseaux qu'ils avaient équipés. Pendant ce trajet, ils égorgèrent ceux de leurs adversaires qu'ils purent saisir. Quant à ceux qu'ils avaient engagés à monter sur les vaisseaux, ils les firent descendre à terre et les massacrèrent jusqu'au dernier; puis, allant au temple de Junon, ils obtinrent d'une cinquantaine de suppliants qu'ils se soumissent à un jugement et les condamnèrent tous à mort. Ceux qui n'avaient pas été leurs dupes,

XI. LES TROUBLES DE CORCYRE ET L'ÉTAT MORAL DE LA GRÈCE.

LXXXI. Οἱ μὲν οὖν
Πελοποννήσιοι
εὐθὺς τῆς νυκτὸς
ἐκομίζοντο κατὰ τάχος
ἐπὶ οἴκου
παρὰ τὴν γῆν·
καὶ ὑπερενεγκόντες
τὸν ἰσθμὸν Λευκαδίων
τὰς ναῦς,
ὅπως μὴ ὀφθῶσιν
περιπλέοντες
ἀποκομίζονται.
Κερκυραῖοι δὲ αἰσθόμενοι
τάς τε ναῦς Ἀττικὰς
προσπλεούσας
τάς τε τῶν πολεμίων
οἰχομένας,
λαβόντες τε τοὺς Μεσσηνίους
ἤγαγον ἐς τὴν πόλιν
ὄντας ἔξω πρότερον,
καὶ κελεύσαντες
τὰς ναῦς ἃς ἐπλήρωσαν
περιπλεῦσαι
ἐς τὸν λιμένα Ὑλλαϊκὸν,
ἐν ὅσῳ
περιεκομίζοντο,
ἀπέκτεινον εἴ λάβοιέν
τινα τῶν ἐχθρῶν·
καὶ ἐκβιβάζοντες ἐκ τῶν νεῶν
ὅσους ἔπεισαν
ἐσβῆναι,
ἀπεχρῶντο,
ἐλθόντες τε ἐς τὸ Ἥραιον,
ἔπεισαν
ὡς πεντήκοντα ἄνδρας
τῶν ἱκετῶν
ὑποσχεῖν δικὴν
καὶ κατέγνωσαν πάντων
θάνατον.
Οἱ δὲ πολλοὶ
τῶν ἱκετῶν,
ὅσοι οὐκ ἐπείσθησαν,

LXXXI. D'une part donc les
Péloponnésiens
aussitôt la nuit
étaient portés (allaient) en hâte
vers *leur* maison (chez eux)
le long-de (en serrant) la terre ;
et ayant transporté-par-dessus
l'isthme des Leucadiens
leurs vaisseaux,
afin qu'ils ne soient pas vus
naviguant-à-l'entour,
ils reviennent *chez eux*.
D'autre part les Corcyréens s'étant [aperçus
et les vaisseaux attiques
naviguant-(naviguer)-vers *eux*,
et ceux des ennemis
étant partis,
et ayant pris les Messéniens
conduisirent dans la ville
eux étant dehors précédemment,
et ayant ordonné [(équipés)
les navires qu'ils avaient remplis
naviguer-en-tournant-*la-ville*
vers le port Hyllaïque,
dans autant *de temps* que
les navires étaient portés-autour,
ils tuaient s'ils prenaient
quelqu'un de leurs ennemis:
et faisant-sortir des navires
tous-ceux-qu'ils avaient persuadés
d'*y* entrer,
ils *les* tuaient, [non,
et étant allés dans le *temple* de-Ju-
ils persuadèrent
environ à cinquante hommes
d'entre les suppliants
de subir un jugement
et prononcèrent-contre tous
la mort
D'autre part la plupart
des suppliants, [suadés,
tous-ceux-qui n'avaient pas été per-

ἱκετῶν, ὅσοι οὐκ ἐπείσθησαν, ὡς ἑώρων τὰ γιγνόμενα, διέφθειραν αὐτοῦ ἐν τῷ ἱερῷ ἀλλήλους καὶ ἐκ τῶν δένδρων τινὲς ἀπήγχοντο, οἱ δ' ὡς ἕκαστοι ἐδύναντο ἀνηλοῦντο. Ἡμέρας τε ἑπτὰ, ἃς ἀφικόμενος ὁ Εὐρυμέδων ταῖς ἑξήκοντα ναυσὶ παρέμεινε, Κερκυραῖοι σφῶν αὐτῶν τοὺς ἐχθροὺς δοκοῦντας εἶναι ἐφόνευον, τὴν μὲν αἰτίαν ἐπιφέροντες τοῖς τὸν δῆμον καταλύουσιν, ἀπέθανον δέ τινες καὶ ἰδίας ἔχθρας ἕνεκα, καὶ ἄλλοι χρημάτων σφίσιν ὀφειλομένων ὑπὸ τῶν λαβόντων· πᾶσά τε ἰδέα κατέστη θανάτου, καὶ οἷον φιλεῖ ἐν τῷ τοιούτῳ γίγνεσθαι, οὐδὲν ὅ τι οὐ ξυνέβη καὶ ἔτι περαιτέρω. Καὶ γὰρ πατὴρ παῖδα ἀπέκτεινε, καὶ ἀπὸ τῶν ἱερῶν ἀπεσπῶντο, καὶ πρὸς αὐτοῖς ἐκτείνοντο, οἱ δέ τινες καὶ περιοικοδομηθέντες ἐν τοῦ Διονύσου τῷ ἱερῷ ἀπέθανον.

LXXXII. Οὕτως ὠμὴ ἡ στάσις προυχώρησε, καὶ ἔδοξε μᾶλλον, διότι ἐν τοῖς[1] πρώτη ἐγένετο· ἐπεὶ ὕστερόν γε καὶ πᾶν ὡς εἰπεῖν τὸ Ἑλληνικὸν ἐκινήθη, διαφορῶν οὐσῶν ἑκασταχοῦ τοῖς τε τῶν δήμων προστάταις τοὺς Ἀθηναίους ἐπάγε-

— c'était le plus grand nombre, — voyant ce qui se passait, se tuèrent mutuellement dans le temple même ; quelques-uns se pendirent aux arbres ; enfin chacun se donna la mort comme il put. Durant les sept jours que la flotte d'Eurymédon fut à Corcyre, les Corcyréens massacrèrent tous ceux qu'ils regardaient comme ennemis de la démocratie. Quelques-uns furent victimes d'inimitiés particulières ; des créanciers furent tués par leurs débiteurs. La mort parut sous mille formes. De toutes les horreurs communes en pareille circonstance, il n'y en eut point qui ne fût commise et même surpassée. Le père tuait son fils ; on arrachait des asiles sacrés les suppliants ou on les égorgeait au pied des autels. Enfin quelques-uns périrent murés dans le temple de Bacchus.

LXXXII. Tant fut atroce cette sédition ; elle le parut encore davantage, parce qu'elle fut la première. Plus tard la Grèce en totalité fut ébranlée. La division régnant partout, les chefs du parti populaire appelaient les Athéniens, l'aristocratie les Lacé-

ὡς ἑώρων
τὰ γιγνόμενα,
διέφθειραν ἀλλήλους
αὐτοῦ ἐν τῷ ἱερῷ
καί τινες ἀπήγχοντο
ἐκ τῶν δένδρων,
οἱ δὲ ἀνηλοῦντο
ὡς ἕκαστοι ἐδύναντο.
Ἑπτά τε ἡμέρας
ἃς ὁ Εὐρυμέδων
ἀφικόμενος
ταῖς ἑξήκοντα ναυσὶ
παρέμεινε,
Κερκυραῖοι ἐφόνευον
τοὺς σφῶν αὐτῶν
δοκοῦντας εἶναι ἐχθρούς,
ἐπιφέροντες μὲν τὴν αἰτίαν
τοῖς καταλύουσι
τὸν δῆμον,
τινὲς δὲ ἀπέθανον
καὶ ἕνεκα ἔχθρας ἰδίας,
καὶ ἄλλοι
ὑπὸ τῶν λαβόντων
χρημάτων ὀφειλομένων σφίσιν·
πᾶσά τε ἰδέα θανάτου
κατέστη,
καὶ οἷον φιλεῖ γίγνεσθαι
ἐν τῷ τοιούτῳ,
οὐδὲν ὅ τι οὐ ξυνέβη
καὶ ἔτι περαιτέρω.
Καὶ γὰρ πατὴρ ἀπέκτεινε παῖδα,
καὶ ἀπεσπῶντο
ἀπὸ τῶν ἱερῶν
καὶ ἐκτείνοντο πρὸς αὐτοῖς,
οἱ δέ τινες ἀπέθανον
περιοικοδομηθέντες
ἐν τῷ ἱερῷ τοῦ Διονύσου.

LXXII. Οὕτως ἡ στάσις
προυχώρησεν ὠμή,
καὶ ἔδοξε μᾶλλον,
διότι ἐγένετο πρώτη
ἐν τοῖς·
ἐπεὶ ὕστερόν γε
καὶ πᾶν τὸ Ἑλληνικὸν
ὡς εἰπεῖν
ἐκινήθη,
διαφορῶν οὐσῶν ἑκασταχοῦ
τοῖς τε προστάταις
τῶν δήμων
ἐπάγεσθαι

comme ils voyaient
les choses ayant-lieu,
se tuèrent les uns-les autres
là-même dans le temple
et quelques-uns se pendaient
aux arbres,
les autres se détruisaient
comme chacun ils pouvaient.
Et pendant sept jours
pendant lesquels Eurymédon
étant arrivé
avec ses soixante vaisseaux
resta-auprès *de Corcyre*,
les Corcyréens assassinaient
ceux l 'entre-eux mêmes
paraissant être ennemis,
portant d'une part l'accusation
contre ceux détruisant (voulant dé-
le peuple (la démocratie), [truire)
d'autre part quelques-uns périrent
aussi à cause d'inimitié privée
et d'autres *périrent*
de *la main de* ceux qui *l'*avaient reçu
à cause de l'argent dû à eux ;
et toute forme de mort
s'établit (se présenta),
et comme il a-coutume d'advenir
dans le *cas* tel,
il n'*est* rien qui n'arrivât
et encore plus au delà.
Car le père tuait le fils,
et ils (les uns) étaient arrachés
des *lieux* sacrés
et étaient tués près d'eux,
les autres quelques-uns moururent
ayant été murés
dans le temple de Bacchus.

LXXII. Tant la sédition
s'avança cruelle,
et elle parut davantage,
parce qu'elle fut la première
parmi les choses *étant les premières*;
attendu que postérieurement certes
aussi tout le *monde* grec
pour *ainsi* dire
fut ébranlé, [lieu
des différends étant en-chaque-
et entre les chefs
des peuples (des démocraties)
pour faire-venir

σθαι, καὶ τοῖς ὀλίγοις τοὺς Λακεδαιμονίους· καὶ ἐν μὲν εἰρήνῃ οὐκ ἂν ἐχόντων[1] πρόφασιν, οὐδ' ἑτοίμων παρακαλεῖν αὐτούς, πολεμουμένων δὲ καὶ ξυμμαχίας ἅμα ἑκατέροις τῇ τῶν ἐναντίων κακώσει καὶ σφίσιν αὐτοῖς ἐκ τοῦ αὐτοῦ προσποιήσει ῥᾳδίως αἱ ἐπαγωγαὶ τοῖς νεωτερίζειν τι βουλομένοις ἐπορίζοντο. Καὶ ἐπέπεσε πολλὰ καὶ χαλεπὰ κατὰ στάσιν ταῖς πόλεσι, γιγνόμενα μὲν καὶ ἀεὶ ἐσόμενα, ἕως ἂν ἡ αὐτὴ φύσις τῶν ἀνθρώπων ᾖ, μᾶλλον δὲ[2] καὶ ἡσυχαίτερα καὶ τοῖς εἴδεσι διηλλαγμένα, ὡς ἂν ἕκασται αἱ μεταβολαὶ τῶν ξυντυχιῶν ἐφιστῶνται. Ἐν μὲν γὰρ εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασιν αἵ τε πόλεις καὶ οἱ ἰδιῶται ἀμείνους τὰς γνώμας ἔχουσι διὰ τὸ μὴ ἐς ἀκουσίους ἀνάγκας πίπτειν· ὁ δὲ πόλεμος, ὑφελὼν τὴν εὐπορίαν τοῦ καθ' ἡμέραν, βίαιος διδάσκαλος, καὶ πρὸς τὰ παρόντα τὰς ὀργὰς τῶν πολλῶν ὁμοῖοι. Ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων, καὶ τὰ ἐφυστερίζοντά που ἐπιπύστει τῶν προγε-

démoniens. En temps de paix, on n'aurait eu ni le prétexte ni l'idée d'attirer ces auxiliaires ; mais, une fois la guerre allumée et les deux partis acharnés à s'entre-détruire, le recours à l'intervention étrangère devint plus facile aux agitateurs. Ces déchirements occasionnèrent aux États des calamités sans nombre, calamités qui sont et seront toujours le partage de la nature humaine, quoique, selon les conjonctures, elles puissent varier de violence ou de caractère. Durant la paix et la prospérité, les États et les individus ont un meilleur esprit, parce qu'ils ne sont pas sous le joug d'une nécessité impérieuse ; mais la guerre, détruisant le bien-être journalier, est un maître brutal, qui règle les passions de la multitude sur les circonstances du moment. Les villes étaient en proie aux dissensions. Si l'une d'elles était restée en arrière des autres, elle aspirait à renchérir sur

τοὺς Ἀθηναίους,
καὶ τοῖς ὀλίγοις
τοὺς Λακεδαιμονίους·
καὶ ἐν μὲν εἰρήνῃ
οὐκ ἂν ἐχόντων πρόφασιν,
οὐδὲ ἑτοίμων
παρακαλεῖν αὐτούς,
πολεμουμένων δὲ
καὶ αἱ ἐπαγωγαὶ
ἐπορίζοντο ῥᾳδίως
τοῖς βουλομένοις νεωτερίζειν τι
ξυμμαχίας
ἑκατέροις ἅμα
τῇ κακώσει τῶν ἐναντίων
καὶ προσποιήσει
σφίσιν αὐτοῖς
ἐκ τοῦ αὐτοῦ.
Καὶ πολλὰ καὶ χαλεπὰ
ἐπέπεσε ταῖς πόλεσι
κατὰ στάσιν,
γιγνόμενα μὲν
καὶ ἐσόμενα ἀεί,
ἕως φύσις τῶν ἀνθρώπων
ἥ ἂν ἡ αὐτὴ,
μᾶλλον δὲ
καὶ ἡσυχαίτερα
καὶ διηλλαγμένα τοῖς εἴδεσιν,
ὡς ἕκασται αἱ μεταβολαὶ
τῶν ξυντυχιῶν
ἐφιστῶνται ἄν.
Ἐν μὲν γὰρ εἰρήνῃ
καὶ ἀγαθοῖς πράγμασι
αἵ τε πόλεις
καὶ οἱ ἰδιῶται ἔχουσι
τὰς γνώμας ἀμείνους
διὰ τὸ μὴ πίπτειν
ἐς ἀνάγκας
ἀκουσίους·
ὁ δὲ πόλεμος,
ὑφελὼν
τοῦ κατὰ ἡμέραν
τὴν εὐπορίαν,
διδάσκαλος βίαιος,
καὶ ὁμοιοῖ
τὰς ὀργὰς τῶν πολλῶν
πρὸς τὰ παρόντα.
Τὰ οὖν τῶν πόλεων
ἐστασίαζέ τε,
καὶ τὰ ἐφυστερίζοντά
που

les Athéniens, [oligarques)
et entre les peu-nombreux (les
pourfaire venir les Lacédémoniens;
et dans la paix d'une part
eux ne pouvant avoir de prétexte
ni *ne pouvant être* disposés
à les appeler,
d'autre part étant-en-hostilité,
les appels *des étrangers* aussi
fournissaient facilement [chose
à ceux qui voulaient innover quelque
des secours [temps
aux-uns-et-aux-autres en-même
pour la perte de leurs adversaires
et *pour* l'attribution *du pouvoir*
à eux mêmes
du mème *coup*.
Et des maux nombreux et durs
fondirent-sur les villes
pendant *cette* division,
maux arrivant d'une part
et devant exister toujours,
tant que la nature des hommes
sera la même,
ou plutôt
et plus doux
et différents par les espèces,
selon-que chaque changement
des conjonctures
survient.
Car d'une part dans la paix [périté)
et *dans* les bonnes affaires (la pros-
et les villes
et les particuliers ont
les sentiments meilleurs
à-cause-de le ne pas tomber
dans des nécessités
qui-contraignent-la-volonté;
d'autre part la guerre
ayant retranché
de la *vie* de chaque jour
l'abondance,
est un maître violent,
et assimile (règle) [foule)
les passions de la plupart (de la
aux *circonstances* présentes.
Les *affaires* donc des villes (les
et étaient-en-sédition [villes)
et celles étant-en-retard
quelque-part

νομένων πολλὴν ἐπέφερε τὴν ὑπερβολὴν ἐς τὸ καινοῦσθαι τὰς διανοίας τῶν τ' ἐπιχειρήσεων περιτεχνήσει καὶ τῶν τιμωριῶν ἀτοπίᾳ. Καὶ τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει. Τόλμα μὲν γὰρ ἀλόγιστος ἀνδρία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπὴς, τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου πρόσχημα, καὶ τὸ πρὸς ἅπαν ξυνετὸν ἐπὶ πᾶν ἀργόν· τὸ δ' ἐμπλήκτως ὀξὺ ἀνδρὸς μοίρᾳ προσετέθη, ἀσφαλείᾳ δὲ τὸ ἐπιβουλεύσασθαι, ἀποτροπῆς πρόφασις εὔλογος. Καὶ ὁ μὲν χαλεπαίνων πιστὸς ἀεὶ, ὁ δ' ἀντιλέγων αὐτῷ ὕποπτος. Ἐπιβουλεύσας δέ τις τυχών τε, ξυνετός· καὶ ὑπονοήσας, ἔτι δεινότερος· προβουλεύσας δὲ ὅπως μηδὲν αὐτῶν δεήσει, τῆς τε ἑταιρίας διαλυτὴς καὶ τοὺς ἐναντίους ἐκπεπληγμένος. Ἁπλῶς τε ὁ φθάσας τὸν μέλλοντα κακόν τι

leur exemple à imaginer de nouveaux excès, à raffiner sur l'atrocité des vengeances. On en vint à changer arbitrairement l'acception des mots. L'audace irréfléchie passa pour courage et dévouement à ses amis; la lenteur prudente pour une lâcheté déguisée; la modération pour un prétexte de la timidité; une grande intelligence pour une grande inertie. L'emportement aveugle devint le trait distinct de l'homme de cœur; la circonspection, un spécieux subterfuge. L'homme le plus irascible fut regardé comme le plus sûr; celui qui osait lui tenir tête fut déclaré suspect. C'était faire preuve de finesse que d'attirer ses ennemis dans le piège et surtout de l'éluder. Prenait-on ses mesures pour se passer de ces artifices, on était taxé de trahison ou de pusillanimité. Rien ne valait plus d'éloges que de prévenir une

ἐπιπύστει τῶν προγενομένων	sur le bruit des choses ayant eu-
ἐπέφερε πολλὴν	apportaient grande [lieu-déjà
τὴν ὑπερβολὴν	l'exagération
ἐς τὸ	dans ceci
τὰς διανοίας καινοῦσθαι	leurs pensées être changées
περιτεχνήσει τε	et par l'invention
τῶν ἐπιχειρήσεων	des entreprises
καὶ ἀτοπίᾳ τῶν τιμωριῶν.	et par l'étrangeté des vengeances.
Καὶ ἀντήλλαξαν	Et ils changèrent (on changea)
τὴν ἀξίωσιν εἰωθυῖαν	la valeur habituelle
τῶν ὀνομάτων	des mots
ἐς τὰ ἔργα	par-rapport aux actes
τῇ δικαιώσει.	par la justification *d'actes coupables*.
Τόλμα μὲν γὰρ	Car d'une part l'audace
ἀλόγιστος	irréfléchie
ἐνομίσθη ἀνδρία	fut réputée courage
φιλέταιρος,	dévoué-à-ses-amis, [dente
μέλλησις δὲ προμηθὴς	d'autre part la temporisation pru-
δειλία εὐπρεπὴς,	*fut réputée* lâcheté spécieuse, [*tée*
τὸ δὲ σῶφρον	d'autre part la modération *fut répu-*
πρόσχημα τοῦ ἀνάνδρου,	prétexte de (dont se couvre) la timi-
καὶ τὸ ξυνετὸν πρὸς ἅπαν	et l'intelligence pour tout [dité,
ἀργὸν	*fut réputée* impropre-à-agir
ἐπὶ πᾶν·	pour tout; [violence)
τὸ δὲ ἐμπλήκτως ὀξὺ	et le follement violent (la folle
προσετέθη μοίρᾳ	fut attribué au compte
ἀνδρὸς,	de l'homme-de-cœur,
τὸ δὲ ἐπιβουλεύσασθαι	et le tendre-des-embûches
ἀσφαλείᾳ,	*fut attribué* à la précaution,
πρόφασις εὔλογος	prétexte honnête [l'agression).
ἀποτροπῆς.	du détournement (de détourner
Καὶ ὁ μὲν	Et d'une part celui
χαλεπαίνων	qui se-mettait-en-colère
ἀεὶ πιστὸς,	*était réputé* toujours sûr, [sait
ὁ δὲ ἀντιλέγων αὐτῷ	d'autre part celui qui le contredi-
ὕποπτος.	*était réputé* suspect. [bûches
Τὶς δὲ ἐπιβουλεύσας	Et quelqu'un ayant tendu-des-em-
τυχών τε,	et ayant atteint *le but*,
ξυνετός·	*était réputé* intelligent; [*dait*
καὶ ὑπονοήσας,	et ayant soupçonné *qu'on lui enten-*
ἔτι δεινότερος·	encore plus habile; [res
προβουλεύσας δὲ	et quelqu'un ayant pris-des-mesu-
ὅπως δεήσει	comment il n'aura besoin
μηδὲν	en rien
αὐτῶν	de ces *précautions* là
διαλυτής τε	*était réputé* et destructeur
τῆς ἑταιρίας	de l'amitié
καὶ ἐκπεπληγμένος	et craignant-extrêmement
τοὺς ἐναντίους.	ses adversaires.
Ἁπλῶς τε ὁ φθάσας	Et en-un-mot celui ayant prévenu

δρᾶν ἐπῃνεῖτο, καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον. Καὶ μὴν καὶ τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ ἀλλοτριώτερον ἐγένετο διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾶν· οὐ γὰρ μετὰ τῶν κειμένων νόμων ὠφελίᾳ αἱ τοιαῦται ξύνοδοι, ἀλλὰ παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ. Καὶ τὰς ἐς σφᾶς αὐτοὺς πίστεις οὐ τῷ θείῳ νόμῳ μᾶλλον ἐκρατύνοντο ἢ τῷ κοινῇ τι παρανομῆσαι. Τά τε ἀπὸ τῶν ἐναντίων καλῶς λεγόμενα ἐνεδέχοντο ἔργων φυλακῇ, εἰ προύχοιεν, καὶ οὐ γενναιότητι. Ἀντιτιμωρήσασθαί τέ τινα περὶ πλείονος ἦν ἢ αὐτὸν μὴ προπαθεῖν. Καὶ ὅρκοι εἴ που ἄρα γένοιντο ξυναλλαγῆς, ἐν τῷ αὐτίκα πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι ἴσχυον, οὐκ ἐχόντων ἄλλοθεν δύναμιν· ἐν δὲ τῷ παρατυχόντι, ὁ φθάσας θαρσῆσαι, εἰ ἴδοι ἄφρακτον, ἥδιον διὰ τὴν πίστιν ἐτιμωρεῖτο

perfidie ou d'y exciter celui qui n'y songeait pas. Les liens du sang étaient moins forts que l'esprit de parti, parce que celui-ci inspirait plus de dévouements à toute épreuve; en effet, de telles associations n'étaient pas formées sous l'égide des lois, en vue d'une utilité légitime, mais plutôt contre elles et dans un but coupable; elles ne reposaient pas sur la crainte des dieux, mais sur la complicité du crime. Accueillait-on les ouvertures d'un adversaire, c'était par mesure de prudence et non par générosité. On attachait bien plus de prix à se venger d'une offense qu'à ne l'avoir pas reçue. Les serments de réconciliation qu'on prêtait quelquefois n'avaient qu'une force passagère, arrachés qu'ils étaient à l'embarras des partis; mais que l'occasion fût donnée, et le premier qui reprenait courage en voyant son rival sans défense l'attaquait plus volontiers en

τὸν μέλλοντα
δρᾶν τι κακὸν
ἐπῃνεῖτο,
καὶ
ὁ ἐπικελεύσας
τὸν μὴ διανοούμενον.
Καὶ μὴν
καὶ τὸ ξυγγενὲς ἐγένετο
ἀλλοτριώτερον τοῦ ἑταιρικοῦ
διὰ τὸ
εἶναι ἑτοιμότερον
τολμᾶν ἀπροφασίστως·
αἱ γὰρ ξύνοδοι τοιαῦται
οὐ μετὰ τῶν νόμων κειμένων
ὠφελίᾳ,
ἀλλὰ παρὰ τοὺς καθεστῶτας
πλεονεξίᾳ.
Καὶ ἐκρατύνοντο
τὰς πίστεις
ἐς σφᾶς αὐτοὺς
οὐ τῷ νόμῳ θείῳ
μᾶλλον ἢ
τῷ παρανομῆσαί τι
κοινῇ.
Ἐνεδέχοντό τε
τὰ λεγόμενα καλῶς
ἀπὸ τῶν ἐναντιῶν
φυλακῇ ἔργων,
εἰ προύχοιεν,
καὶ οὐ γενναιότητι.
Ἦν τε περὶ πλείονός
τινα ἀντιτιμωρήσασθαι
ἢ αὐτὸν
μὴ προπαθεῖν.
Καὶ εἴ που ἄρα
ὅρκοι ξυναλλαγῆς
γένοιντο,
διδόμενοι
ἑκατέρῳ
πρὸς τὸ ἄπορον
ἴσχυον
ἐν τῷ αὐτίκα,
οὐκ ἐχόντων δύναμιν
ἄλλοθεν·
ἐν δὲ τῷ παρατυχόντι,
ὁ φθάσας
θαρσῆσαι,
εἰ ἴδοι ἄφρακτον,
ἐτιμωρεῖτο ἥδιον
διὰ τὴν πίστιν

celui qui s'apprêtait
à *lui* faire quelque mal
était loué,
et (ainsi que) [*à un autre*
celui ayant engagé *à faire du mal*
celui qui n'*y* songeait pas.
Et certes
et la parenté fut
plus étrangère que la camaraderie
à-cause-de ceci
la camaraderie être plus disposée
à oser sans-chercher-d'excuse ;
car les associations telles [blies
avaient-lieu non avec les lois éta-
pour une utilité,
mais contre celles établies
pour l'acquisition-de-plus.
Et ils affermissaient
leur confiance [les autres)
envers eux mêmes (les uns envers
non par la loi divine
plutôt que [quelque chose
par le avoir agi-illégalement en
en commun.
Et ils accueillaient [ment)
les choses dites bien (honorable-
par leurs adversaires
par précaution *contre* des actes,
si *ceux-ci* étaient-supérieurs,
et non par générosité.
Et il était d'un plus grand *prix*
quelqu'un se venger-à-son-tour
que *soi*-même
n'avoir pas souffert-le-premier.
Et si par hasard certes
des serments de réconciliation
avaient-lieu,
étant donnés
par chacun-des-deux-*partis*[rassée
à cause de leur *situation* embar-
ils avaient-de-la-force
dans le présent, [de force
eux (les contendants) n'ayant pas
d'ailleurs ;
mais dans l'*occasion* se présentant,
celui ayant été-le-premier
à s'enhardir, [fense,
s'il voyait *son adversaire* sans-dé-
s'*en* vengeait plus volontiers [*lui*
grâce à la confiance *de l'autre en*

ἢ ἀπὸ τοῦ προφανοῦς, καὶ τό τε ἀσφαλὲς ἐλογίζετο καὶ ὅτι ἀπάτῃ περιγενόμενος ξυνέσεως ἀγώνισμα προσελάμβανε. Ῥᾷον δ' οἱ πολλοὶ κακοῦργοι ὄντες δεξιοὶ κέκληνται ἢ ἁμαθεῖς ἀγαθοί, καὶ τῷ μὲν αἰσχύνονται, ἐπὶ δὲ τῷ ἀγάλλονται. Πάντων δ' αὐτῶν αἴτιον ἀρχὴ ἡ διὰ πλεονεξίαν καὶ φιλοτιμίαν· ἐκ δ' αὐτῶν καὶ ἐς τὸ φιλονικεῖν καθισταμένων τὸ πρόθυμον. Οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες μετ' ὀνόματος ἑκάτεροι εὐπρεποῦς, πλήθους τε ἰσονομίας πολιτικῆς καὶ ἀριστοκρατίας σώφρονος προτιμήσει, τὰ μὲν κοινὰ λόγῳ θεραπεύοντες ἆθλα ἐποιοῦντο, παντὶ δὲ τρόπῳ ἀγωνιζόμενοι ἀλλήλων περιγίγνεσθαι, ἐτόλμησάν τε τὰ δεινότατα, ἐπεξῆσάν τε τὰς τιμωρίας ἔτι μείζους, οὐ μέχρι τοῦ δικαίου καὶ τῇ πόλει ξυμφόρου προστιθέντες, ἐς δὲ τὸ ἑκατέροις που ἀεὶ ἡδονὴν ἔχον ὁρίζοντες, καὶ ἢ μετὰ ψήφου ἀδίκου καταγνώ-

trahison qu'à visage découvert. Il y trouvait deux avantages : l'un de frapper à coup sûr, l'autre de se faire une réputation d'habileté en ne devant son triomphe qu'à l'astuce. Or la plupart aiment mieux passer pour adroits que pour simples et honnêtes. On rougit de la maladresse ; on tire vanité de la méchanceté. Tous ces maux eurent leur source dans la fureur de dominer, inspirée par la cupidité et par l'ambition ; puis, les rivalités éveillées, la passion s'en mêla. Les chefs du parti prenaient pour mot d'ordre, ceux-ci l'égalité des droits, ceux-là une aristocratie tempérée ; et, sous le masque du bien public, ils ne travaillaient qu'à se supplanter mutuellement. Ils donnaient un libre cours à leur audace et à leurs vengeances, sans nul souci de la justice ou de l'intérêt commun, sans autre règle que leur caprice. Une fois au pouvoir à l'aide de sentences

ἢ ἀπὸ τοῦ προφανοῦς,
καὶ ἐλογίζετο
τό τε ἀσφαλὲς
καὶ ὅτι περιγενόμενος
ἀπάτῃ
προσελάμβανε
ἀγωνίσμα ξυνέσεως.
Οἱ δὲ πολλοὶ
κέκληνται ῥᾷον
δεξιοὶ
ὄντες κακοῦργοι
ἢ ἀμαθεῖς ἀγαθοὶ,
καὶ αἰσχύνονται τῷ μὲν,
ἀγάλλονται ἐπὶ τῷ δέ.
Αἴτιον δὲ
πάντων αὐτῶν
ἀρχὴ
ἡ διὰ πλεονεξίαν
καὶ φιλοτιμίαν·
τὸ δὲ πρόθυμον
ἐξ αὐτῶν
καθισταμένων
ἐς τὸ φιλονικεῖν.
Οἱ γὰρ προστάντες
ἐν ταῖς πόλεσι
ἑκάτεροι
μετὰ ὀνόματος εὐπρεποῦς,
προτιμήσει
ἰσονομίας τε πολιτικῆς πλήθους
καὶ σώφρονος ἀριστοκρατίας,
θεραπεύοντες μὲν λόγῳ
τὰ κοινὰ
ἐποιοῦντο ἆθλα,
ἀγωνιζόμενοι δὲ
παντὶ τρόπῳ
περιγίγνεσθαι ἀλλήλων,
ἐτόλμησάν τε
τὰ δεινότατα,
ἐπεξῆσάν τε τὰς τιμωρίας
ἔτι μείζους,
προστιθέντες
οὐ μέχρι τοῦ δικαίου
καὶ ξυμφόρου τῇ πόλει,
ὁρίζοντες δὲ
ἐς τὸ ἔχον
που ἀεὶ ἡδονὴν
ἑκατέροις,
καὶ κτώμενοι
τὸ κρατεῖν
ἢ μετὰ καταγνώσεως

que de la *manière* ouverte,
et il songeait
et à la sûreté
et que ayant eu-le-dessus
par l'artifice
il recevait-en-outre
le prix de l'intelligence.
Or la plupart [volontiers)
sont appelés plus facilement (plus
adroits
en étant méchants
qu'ignorants *en* étant vertueux,
et ils rougissent de l'un,
se glorifient de l'autre.
Or la cause
de toutes *ces* choses mêmes
fut le pouvoir [pidité
celui *recherché* à-cause-de la cu-
et de l'ambition;
et l'ardeur
résultant de ces passions
les hommes étant disposés
à rivaliser.
Car ceux qui-commandaient
dans les villes
les uns-et-les-autres
avec un nom spécieux [préférence)
par la préférence (la déclaration de
et de l'égalité politique de la foule
et d'une sage aristocratie,
prenant-soin d'une part en parole
des *affaires* communes
en faisaient le prix-du-combat,
d'autre part luttant
de toute manière [tres,
pour se surpasser les-uns-les-au-
et ils osèrent
les choses les plus terribles,
et poursuivirent les vengeances
encore plus grandes
en ajoutant de *nouvelles*
non jusqu'à la *limite* utile
et avantageuse à la ville,
mais *les* limitant
à ce qui avait (offrait)
presque toujours du plaisir
aux-uns-et-aux-autres,
et acquérant
le être-puissant (le pouvoir)
ou avec (par) la condamnation

σεως, ἢ χειρὶ κτώμενοι τὸ κρατεῖν, ἑτοῖμοι ἦσαν τὴν αὐτίκα φιλονικίαν ἐκπιμπλάναι. Ὥστε εὐσεβείᾳ μὲν οὐδέτεροι ἐνόμιζον, εὐπρεπείᾳ δὲ λόγου οἷς ξυμβαίη ἐπιφθόνως τι διαπράξασθαι ἄμεινον ἦκουον. Τὰ δὲ μέσα τῶν πολιτῶν ὑπ' ἀμφοτέρων ἢ ὅτι οὐ ξυνηγωνίζοντο ἢ φθόνῳ τοῦ περιεῖναι διεφθείροντο.

LXXXIII. Οὕτω πᾶσα ἰδέα κατέστη κακοτροπίας διὰ τὰς στάσεις τῷ Ἑλληνικῷ, καὶ τὸ εὔηθες, οὗ τὸ γενναῖον πλεῖστον μετέχει, καταγελασθὲν ἠφανίσθη, τὸ δὲ ἀντιτετάχθαι ἀλλήλοις τῇ γνώμῃ ἀπίστως ἐπὶ πολὺ διήνεγκεν· οὐ γὰρ ἦν ὁ διαλύσων οὔτε λόγος ἐχυρὸς οὔτε ὅρκος φοβερὸς, κρείσσους δὲ ὄντες ἅπαντες λογισμῷ ἐς τὸ ἀνέλπιστον τοῦ βεβαίου, μὴ παθεῖν μᾶλλον προεσκόπουν ἢ πιστεῦσαι ἐδύναντο. Καὶ οἱ φαυλότεροι γνώμην ὡς τὰ πλείω περιεγίγνοντο· τῷ γὰρ δεδιέναι τό τε

ni ques ou à force ouverte, ils s'empressaient, de satisfaire leurs inimitiés actuelles. Ni les uns ni les autres ne respectaient la bonne foi; mais ceux qui, au mépris des lois divines, réussissaient à commettre quelque noirceur, palliée d'un nom honnête, étaient les plus estimés. Les citoyens qui se tenaient à l'écart tombaient sous les coups des deux partis, soit parce qu'ils refusaient de prendre part à la lutte, soit parce qu'on était jaloux de leur tranquillité.

LXXXIII. C'est ainsi que les dissensions remplirent la Grèce de toute sorte de crimes. La candeur, compagne de la droiture de caractère, devint un objet de risée et disparut; on éleva bien plus haut la duplicité cauteleuse. Ni langage ne fut assez fort ni serment assez terrible pour cimenter une réconciliation. Ne pouvant compter sur personne, on cherchait à se mettre à couvert plutôt qu'à faire preuve d'une confiante loyauté. Ceux qui avaient le plus d'avantages étaient les hommes d'une intelligence bornée. La conscience de leur inhabi-

ψήφου ἀδίκου,
ἢ χειρὶ,
ἦσαν ἑτοῖμοι
ἐκπιμπλάναι
τὴν φιλονικίαν αὐτίκα.
Ὥστε
οὐδέτεροι
ἐνόμιζον μὲν
εὐσεβείᾳ,
εὐπρεπείᾳ δὲ
λόγου
οἷς ξυμβαίη
διαπράξασθαί τι
ἐπιφθόνως
ἤκουον ἄμεινον.
Τὰ δὲ μέσα
τῶν πολιτῶν
διεφθείροντο ὑπὸ ἀμφοτέρων
ἢ ὅτι
οὐ ξυνηγωνίζοντο
ἢ φθόνῳ
τοῦ περιεῖναι.
LXXXIII. Οὕτω
πᾶσα ἰδέα κακοτροπίας
κατέστη τῷ Ἑλληνικῷ
διὰ τὰς στάσεις,
καὶ τὸ εὔηθες,
οὗ τὸ γενναῖον
μετέχει πλεῖστον,
καταγελασθὲν ἠφανίσθη,
τὸ δὲ ἀντιτετάχθαι
ἀλλήλοις
τῇ γνώμῃ ἀπίστως
διήνεγκεν ἐπὶ πολύ·
οὐ γὰρ ἦν
οὔτε λόγος ἐχυρὸς
οὔτε ὅρκος φοβερὸς
ὁ διαλύσων,
ὄντες δὲ ἅπαντες κρείσσους
ἐς τὸ ἀνέλπιστον
λογίσμῳ
τοῦ βεβαίου,
προεσκόπουν μὴ παθεῖν
μᾶλλον ἢ ἐδύναντο
πιστεῦσαι.
Καὶ οἱ φαυλότεροι γνώμην
περιεγίγνοντο
ὡς τὰ πλείω·
τῷ γὰρ δεδιέναι
τό τε ἐνδεὲς αὐτῶν

d'un vote injuste,
ou par la main (par force),
ils étaient prêts
à remplir (à satisfaire)
leur jalousie du-moment.
De-sorte-que
ni-les-uns-ni-les-autres [part
n'-usaient-communément d'une
de la piété, [nête
d'autre part par l'apparence-hon-
du mot
ceux à qui il arrivait
de faire quelque chose
d'une-manière-odieuse
entendaient *parler d'eux* en mieux.
D'autre part les neutres
d'entre les citoyens
étaient détruits par les deux *partis*
ou parce que
ils ne luttaient-pas-avec *eux*,
ou par jalousie
du *eux* rester *ainsi*.
LXXXIII. Ainsi
toute forme de perversité
s'établit pour le *monde* grec
à-cause des factions,
et la simplicité,
de laquelle la générosité
participe le plus,
raillée disparut,
d'autre part le rester-rangé-en-face
les-uns-des-autres
par l'esprit avec-défiance
prévalut de beaucoup :
car il n'était
ni discours fort
ni serment terrible [fier),
le devant (qui dût) *les* séparer (paci-
mais étant tous plus forts
contre l'imprévu
par le raisonnement
que par l'*assurance* solide, [*mages*
ils avisaient à ne pas souffrir *de dom-*
plutôt qu'ils ne pouvaient
se fier *à quelque garantie*.
Et les plus nuls par l'esprit
avaient-le-dessus
comme le plus souvent ;
car par le craindre
et l'insuffisance d'eux-mêmes

αὐτῶν ἐνδεὲς καὶ τὸ τῶν ἐναντίων ξυνετὸν, μὴ λόγοις τε ἥσσους ὦσι καὶ ἐκ τοῦ πολυτρόπου αὐτῶν τῆς γνώμης φθάσωσι προεπιβουλευόμενοι, τολμηρῶς πρὸς τὰ ἔργα ἐχώρουν. Οἱ δὲ καταφρονοῦντες κἂν προαισθέσθαι, καὶ ἔργῳ οὐδὲν σφᾶς δεῖν λαμβάνειν ἃ γνώμῃ ἔξεστιν, ἄφρακτοι μᾶλλον διεφθείροντο.

XII. PRISE DE SPHACTÉRIE.

(Liv. IV, §§ 26-41.)

XXVI. Ἐν δὲ τῇ Πύλῳ ἔτι ἐπολιόρκουν τοὺς ἐν τῇ νήσῳ [1] Λακεδαιμονίους οἱ Ἀθηναῖοι, καὶ τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον τῶν Πελοποννησίων κατὰ χώραν ἔμενεν. Ἐπίπονος δ' ἦν τοῖς Ἀθηναίοις ἡ φυλακὴ σίτου τε ἀπορίᾳ καὶ ὕδατος· οὐ γὰρ ἦν κρήνη ὅτι μὴ μία ἐν αὐτῇ τῇ ἀκροπόλει τῆς Πύλου καὶ αὕτη οὐ μεγάλη, ἀλλὰ διαμώμενοι τὸν κάχληκα [2], οἱ πλεῖστοι ἐπὶ τῇ θαλάσσῃ ἔπινον οἷον εἰκὸς ὕδωρ. Στενοχωρία τε ἐν ὀλίγῳ στρατοπεδευομένοις ἐγίγνετο, καὶ τῶν νεῶν [3], οὐκ

leté et du talent de leurs adversaires leur faisant craindre d'être dupes des beaux discours de leurs ennemis ou de leur souplesse d'esprit, ils allaient droit au but; tandis que les autres, pleins de dédain pour leurs adversaires, pensaient prévoir leurs desseins et croyaient l'action superflue là où l'adresse semblait suffire, se trouvaient désarmés et succombaient.

XII

XXVI. Devant Pylos, les Athéniens tenaient toujours les Lacédémoniens bloqués dans l'île, tandis que l'armée péloponnésienne conservait ses positions sur le continent. Le manque de vivres et d'eau rendait aux Athéniens le blocus excessivement pénible. L'unique source, et encore peu abondante, était dans la citadelle même de Pylos; aussi la plupart creusaient des trous dans le sable sur le bord de la mer, et buvaient l'eau qu'on peut croire. Campés dans un espace étroit, ils étaient

καὶ τὸ ξυνετὸν
τῶν ἐναντίων,
μή τε ωσι
ἥσσους λόγοις,
καὶ φθάσωσι
προεπιβουλευόμενοι
ἐκ τοῦ πολυτρόπου
τῆς γνώμης αὐτῶν,
ἐχώρουν τολμηρῶς
πρὸς τὰ ἔργα.
Οἱ δὲ καταφρονοῦντες
καὶ ἂν προαισθέσθαι,
καὶ δεῖν
σφᾶς λαμβάνειν ἔργῳ
οὐδὲν ἃ ἔξεστι
γνώμῃ,
διεφθείροντο μᾶλλον ἄφρακτοι.

et l'intelligence
de leurs adversaires,
de peur que et ils ne fussent
inférieurs en paroles (éloquence),
et qu'ils ne fussent-les-premiers
étant (à être)attaqués
par suite de la souplesse [saires),
de l'esprit d'eux (de leurs adver-
ils allaient audacieusement
aux actes.
Mais les autres qui *les* niéprisaient
et même *pensaient* prévoir *leurs des-*
et falloir [*seins*
eux *ne* se procurer par l'action
aucune *des choses* qu'il est-permis
de *se procurer* par l'esprit,
étaient détruits plutôt sans-défense.

XII. PRISE DE SPHACTÉRIE.

XXVI. Ἐν δὲ τῇ Πύλῳ
οἱ Ἀθηναῖοι
ἐπολιόρκουν ἔτι
τοὺς Λακεδαιμονίους
ἐν τῇ νήσῳ,
καὶ τὸ στρατόπεδον
τῶν Πελοποννησίων
ἐν τῇ ἠπείρῳ
ἔμενε κατὰ χώραν.
Ἡ δὲ φυλακὴ
ἦν ἐπίπονος τοῖς Ἀθηναίοις
ἀπορίᾳ
σίτου τε καὶ ὕδατος·
οὐ γὰρ ἦν κρήνη
ὅτι μὴ μία
ἐν τῇ ἀκροπόλει αὐτῇ
τῆς Πύλου
καὶ αὕτη οὐ μεγάλη,
ἀλλὰ διαμώμενοι
τὸν χάχληκα
οἱ πλεῖστοι ἔπινον
ἐπὶ τῇ θαλάσσῃ
ὕδωρ οἷον εἰκός.
Στενοχωρία τε ἐγίγνετο
στρατοπεδευομένοις
ἐν ὀλίγῳ,
καὶ τῶν νεῶν,

XXVI. Or à (devant) Pylos
les Athéniens
assiégeaient encore
les Lacédémoniens
qui étaient dans l'île,
et l'armée
des Péloponnésiens
sur le continent
restait en place.
D'autre part la surveillance
était pénible pour les Athéniens
par manque
et de blé et d'eau;
car il n'était pas de source
sinon une seule
dans la citadelle même
de Pylos
et cette *source* non grande,
mais mettant-en-tas
le caillou (les cailloux du rivage)
la plupart buvaient
auprès de la mer [*qu'elle fût.*
de l'eau telle qu'*il était* naturel
Et étroitesse-du-lieu était
pour *eux* étant campés
dans un petit *espace*,
et des vaisseaux

ἐχουσῶν ὅρμον, αἱ μὲν σῖτον ἐν τῇ γῇ ἠροῦντο[1] κατὰ μέρος, αἱ δὲ μετέωροι ὥρμουν. Ἀθυμίαν τε πλείστην ὁ χρόνος παρεῖχε παρὰ λόγον ἐπιγιγνόμενος, οὓς ᾤοντο[2] ἡμερῶν ὀλίγων ἐκπολιορκήσειν, ἐν νήσῳ τε ἐρήμῃ καὶ ὕδατι ἁλμυρῷ χρωμένους. Αἴτιον δὲ ἦν οἱ Λακεδαιμόνιοι προειπόντες ἐς τὴν νῆσον ἐσάγειν σῖτόν τε τὸν βουλόμενον ἀληλεσμένον, καὶ οἶνον, καὶ τυρὸν, καὶ εἴ τι ἄλλο βρῶμα οἷον ἂν ἐς πολιορκίαν ξυμφέροι, τάξαντες ἀργυρίου πολλοῦ, καὶ τῶν Εἱλώτων τῷ ἐσαγαγόντι ἐλευθερίαν ὑπισχνούμενοι. Καὶ ἐσῆγον ἄλλοι τε παρακινδυνεύοντες καὶ μάλιστα οἱ Εἵλωτες, ἀπαίροντες ἀπὸ τῆς Πελοποννήσου ὁπόθεν τύχοιεν καὶ καταπλέοντες ἔτι νυκτὸς[2] ἐς τὰ πρὸς τὸ πέλαγος τῆς νήσου. Μάλιστα δὲ ἐτήρουν ἀνέμῳ καταφέρεσθαι· ῥᾷον γὰρ τὴν φυλακὴν τῶν τριήρων ἐλάνθανον, ὁπότε πνεῦμα ἐκ πόντου εἴη· ἄπορον γὰρ ἐγίγνετο περιορμεῖν, τοῖς δὲ ἀφειδὴς ὁ κατόπλους καθειστήκει· ἐπώκελλον γὰρ τὰ πλοῖα τετιμημένα χρημάτων, καὶ

exposés à toutes les privations. Comme il n'y avait point de mouillage pour les vaisseaux, une partie des équipages prenait ses repas à terre, tandis que l'autre restait au large. Ce qui achevait de les décourager, c'était de voir le blocus se prolonger indéfiniment. Ils avaient cru qu'il suffirait de peu de jours pour avoir raison de gens enfermés dans une île déserte et réduits à s'abreuver d'eau saumâtre. Mais les Lacédémoniens avaient offert des prix très élevés à qui porterait dans l'île du blé moulu, du vin, du fromage ou toute autre espèce de comestibles nécessaires à des troupes assiégées; ils avaient même promis la liberté aux Hilotes, qui en introduiraient. Bien des gens, surtout des Hilotes, y parvenaient au péril de leur vie. Ils partaient de tous les points du Péloponnèse et abordaient de nuit dans la partie de l'île qui regarde la haute mer. Ils profitaient des temps d'orage, parce qu'alors les trirèmes ne pouvant croiser au large, il y avait chance d'échapper. Ils s'é-

οὐκ ἐχουσῶν ὅρμον,
αἱ μὲν ἠροῦντο σῖτον
ἐν τῇ γῇ
κατὰ μέρος,
αἱ δὲ ὥρμουν μετέωροι.
Ὅ τε χρόνος
ἐπιγιγνόμενος παρὰ λόγον
παρεῖχε
πλείστην ἀθυμίαν,
οὓς ὥοντο
ἐκπολιορκήσειν
ὀλίγων ἡμερῶν,
ἐν νήσῳ τε ἐρήμῃ
καὶ χρωμένους ὕδατι ἀλμυρῷ.
Αἴτιον δὲ ἦν
οἱ Λακεδαιμόνιοι
προειπόντες τὸν βουλόμενον
ἐσάγειν
σῖτόν τε ἀλῃλεσμένον,
καὶ οἶνον, καὶ τυρὸν,
καὶ εἴ τι ἄλλο βρῶμα
οἷον ξυμφέροι ἂν
ἐς πολιορκίαν,
τάξαντες
πολλοῦ ἀργυρίου,
καὶ ὑπισχνούμενοι ἐλευθερίαν
τῷ τῶν Εἱλώτων
ἐσαγαγόντι.
Καὶ ἄλλοι τε ἐσῆγον
παρακινδυνεύοντες
καὶ μάλιστα οἱ Εἵλωτες,
ἀπαίροντες
ἀπὸ τῆς Πελοποννήσου
ὁπόθεν τύχοιεν
καὶ καταπλέοντες νυκτὸς ἔτι
ἐς τὰ τῆς νήσου
πρὸς τὸ πέλαγος.
Ἐτήρουν δὲ μάλιστα
καταφέρεσθαι
ἀνέμῳ·
ἐλάνθανον γὰρ
ῥᾷον
τὴν φυλακὴν τῶν τριήρων,
ὁπότε πνεῦμα
εἴη ἐκ πόντου·
ἐγίγνετο γὰρ ἄπορον
περιορμεῖν,
τοῖς δὲ ὁ κατάπλους
καθειστήκει ἀφειδής·
ἐπώκελλον γὰρ τὰ πλοῖα

n'ayant pas de mouillage *dans l'île*,
les uns prenaient *leur* repas
à terre
tour à tour,
les autres mouillaient étant-au-large.
Et le temps (la prolongation) *du*
arrivant contre l'attente *siège*
causait
le plus grand découragement
à eux assiégeant des gens qu'ils croyaient
devoir prendre
en peu de jours,
et *étant* dans une île déserte
et usant d'eau salée.
Or la cause *en* était
les Lacédémoniens
ayant engagé celui qui *le* voudrait
à *y* introduire
et du blé moulu,
et du vin, et du fromage
et s'il *y avait* quelque autre aliment
tel qu'il pût être utile
pour un siège,
ayant taxé *ce service*
à beaucoup d'argent,
et promettant la liberté
à celui des Hilotes
y en ayant introduit.
Et d'autres aussi *en* introduisaient
s'exposant-au-danger
et surtout les Hilotes
partant
du Péloponnèse
de-là-où ils se-trouvaient,
et abordant de nuit encore
dans les *parties* de l'île
vers la haute-mer.
Mais ils guettaient surtout
d'être (le moment d'être) poussés
par le vent ;
car ils se-dérobaient
plus facilement
à la surveillance des trirèmes,
lorsque le vent
était (soufflait) de la mer ;
car il devenait *alors* impossible
de mouiller-autour-de-*l'île*,
mais pour eux l'action-d'-aborder
était sans-ménagement ;
car ils échouaient leurs barques

οἱ ὁπλῖται[1] περὶ τὰς κατάρσεις τῆς νήσου ἐφύλασσον. Ὅσοι δὲ γαλήνῃ κινδυνεύσειαν, ἡλίσκοντο. Ἐσένεον δὲ καὶ κατὰ τὸν λιμένα κολυμβηταὶ ὕφυδροι, καλῳδίῳ ἐν ἀσκοῖς ἐφέλκοντες μήκωνα μεμελιτωμένην καὶ λίνου σπέρμα κεκομμένον[2]· ὧν τὸ πρῶτον λανθανόντων φυλακαὶ ὕστερον ἐγένοντο. Παντί τε τρόπῳ ἑκάτεροι ἐτεχνῶντο, οἱ μὲν ἐσπέμπειν τὰ σιτία, οἱ δὲ μὴ λανθάνειν σφᾶς.

XXVII. Ἐν δὲ ταῖς Ἀθήναις πυνθανόμενοι περὶ τῆς στρατιᾶς ὅτι ταλαιπωρεῖται καὶ σῖτος τοῖς ἐν τῇ νήσῳ ὅτι ἐσπλεῖ, ἠπόρουν καὶ ἐδεδοίκεσαν μὴ σφῶν χειμὼν τὴν φυλακὴν ἐπιλάβοι, ὁρῶντες τῶν τε ἐπιτηδείων τὴν περὶ τὴν Πελοπόν-νησον κομιδὴν ἀδύνατον ἐσομένην ἅμα ἐν χωρίῳ ἐρήμῳ καὶ οὐδ' ἐν θέρει οἷοί τε ὄντες ἱκανὰ περιπέμπειν, τόν τε ἔφορμον χωρίων ἁλιμένων ὄντων[3] οὐκ ἐσόμενον, ἀλλ' ἢ σφῶν ἀνέντων τὴν φυλακὴν περιγενήσεσθαι τοὺς ἄνδρας, ἢ τοῖς πλοίοις ἃ τὸν

chouaient sans ménagement, certains d'être indemnisés pour la perte de leurs barques; d'ailleurs tous les abords de l'île étaient gardés par des hoplites; mais, lorsqu'ils se risquaient par un temps calme, ils étaient pris. Il y avait même des plongeurs qui traversaient le port en nageant entre deux eaux, et qui traînaient des outres pleines de pavot emmiellé ou de graine de lin pilée. D'abord ils passèrent inaperçus; mais ensuite on les surveilla. Bref, il n'y avait pas de stratagème que les deux partis n'imaginassent pour introduire des vivres ou pour en empêcher l'introduction.

XXVII. Lorsqu'on apprit à Athènes que l'armée était en souffrance et l'île ravitaillée, on fut dans un grand embarras. On craignait que la mauvaise saison ne surprît les troupes expéditionnaires, et qu'il ne devînt impossible de leur envoyer des vivres en faisant le tour du Péloponnèse, puisqu'en été même on ne pouvait leur en envoyer suffisamment dans un pays désert. La flotte ne saurait plus où mouiller sur cette côte sans port. Pour peu que la croisière fût moins active, les assiégés auraient moyen de se procurer des vivres ou même de s'échapper

τετιμημένα χρημάτων,
καὶ οἱ ὁπλῖται ἐφύλασσον
περὶ τὰς κατάρσεις
τῆς νήσου.
Ὅσοι δὲ κινδυνεύσειαν
γαλήνῃ
ἡλίσκοντο.
Ἐσένεον δὲ καὶ
κατὰ τὸν λιμένα
κολυμβηταὶ ὕφυδροι
ἑφέλκοντες καλῳδίῳ
ἐν ἀσκοῖς
μήκωνα μεμελιτωμένην
καὶ σπέρμα λίνου κεκομμένον·
ὧν λανθανόντων
τὸ πρῶτον
φυλακαὶ ἐγένοντο ὕστερον.
Ἑκάτεροι τε
ἐτεχνῶντο παντὶ τρόπῳ,
οἱ μὲν ἐσπέμπειν
τὰ σιτία,
οἱ δὲ
μὴ λανθάνειν σφᾶς.

XXVII. Ἐν δὲ ταῖς Ἀθήναις
πυνθανόμενοι
περὶ τῆς στρατιᾶς
ὅτι ταλαιπωρεῖται
καὶ ὅτι σῖτος ἐσπλεῖ
τοῖς ἐν τῇ νήσῳ,
ἠπόρουν,
καὶ ἐδεδοίκεσαν
μὴ χειμὼν ἐπιλάβοι
τὴν φυλακὴν σφῶν,
ὁρῶντες
τήν τε κομιδὴν
τῶν ἐπιτηδείων
περὶ τὴν Πελοπόννησον
ἐσομένην ἀδύνατον
ἅμα ἐν χωρίῳ ἐρήμῳ
καὶ οὐδὲ ὄντες οἷοί τε
ἐν θέρει
περιπέμπειν ἱκανὰ,
τόν τε ἔφορμον
οὐκ ἐσόμενον
χωρίων ὄντων ἁλιμένων,
ἀλλὰ ἢ σφῶν ἀνέντων
τὴν φυλακὴν
τοὺς ἄνδρας
περιγενήσεσθαι,
ἢ τηρήσαντας χειμῶνα

évaluées *à prix* d'argent,
et les hoplites veillaient
autour des endroits-abordables
de l'île.
Mais tous-ceux-qui s'exposaient
par le calme
étaient pris. [*l'île*
D'autre part nageaient aussi *vers*
par le port
des plongeurs allant-sous-l'eau,
traînant avec une corde
dans des outres
du pavot emmiellé
et de la graine de lin pilée;
desquels étant-inaperçus
d'abord
surveillances eurent-lieu ensuite.
Et les-uns-et-les-autres
s'ingéniaient de toute manière,
les uns à introduire
les vivres,
les autres [d'eux-mêmes]
à ce que *cela* ne fût-pas-inaperçu

XXVII. Or à Athènes
les citoyens apprenant
au-sujet-de l'armée
qu'elle souffre
et que des vivres arrivent-par-eau
à ceux *qui sont* dans l'île,
étaient-embarrassés,
et craignaient
que l'hiver ne surprît
la garde (le corps d'observation)
voyant [d'eux-mêmes,
et le transport
des choses nécessaires
autour du Péloponnèse
devant être *alors* impossible [nué
en-même-temps dans un pays dé-
et *eux* n'étant pas-même capables
dans l'été
d'envoyer les choses suffisantes,
et *voyant* le mouillage
ne devant pas être
ces parages étant sans-port,
mais ou eux-mêmes ayant relâché
la surveillance
les hommes (les ennemis)
devoir rester (subsister),
ou ayant épié un mauvais-temps

σῖτον αὐτοῖς ἦγε χειμῶνα τηρήσαντας ἐκπλεύσεσθαι. Πάντων δὲ ἐφοβοῦντο μάλιστα τοὺς Λακεδαιμονίους, ὅτι ἔχοντάς τι ἰσχυρὸν αὐτοὺς ἐνόμιζον οὐκέτι σφίσιν ἐπικηρυκεύεσθαι καὶ μετεμέλοντο τὰς σπονδάς οὐ δεξάμενοι[1]. Κλέων δὲ, γνοὺς αὐτῶν τὴν ἐς αὐτὸν ὑποψίαν περὶ τῆς κωλύμης τῆς ξυμβάσεως, οὐ τἀληθῆ ἔφη λέγειν τοὺς ἐξαγγέλλοντας. Παραινούντων δὲ τῶν ἀφιγμένων, εἰ μὴ σφίσι πιστεύουσι, κατασκόπους τινὰς πέμψαι, ἠρέθη κατάσκοπος αὐτὸς μετὰ Θεαγένους ὑπὸ Ἀθηναίων. Καὶ γνοὺς ὅτι ἀναγκασθήσεται ἢ ταὐτὰ λέγειν οἷς διέβαλλεν ἢ τἀναντία εἰπὼν ψευδὴς φανήσεσθαι, παρήνει τοῖς Ἀθηναίοις, ὁρῶν αὐτοὺς καὶ ὡρμημένους τι τὸ πλέον τῇ γνώμῃ στρατεύειν, ὡς χρὴ κατασκόπους μὲν μὴ πέμπειν μηδὲ διαμέλλειν καιρὸν παριέντας, εἰ δὲ δοκεῖ αὐτοῖς ἀληθῆ εἶναι τὰ ἀγγελλόμενα, πλεῖν ἐπὶ τοὺς ἄνδρας. Καὶ ἐς Νικίαν τὸν Νικηράτου στρατηγὸν ὄντα ἀπεσήμαινεν, ἐχθρὸς ὢν, καὶ ἐπιτιμῶν ῥᾴδιον εἶναι παρασκευῇ, εἰ ἄνδρες εἶεν οἱ

sur les embarcations qui leur en apportaient et à la faveur d'un gros temps. On appréhendait surtout que les Lacédémoniens rassurés ne songeassent plus à négocier, et l'on était aux regrets de n'avoir pas accepté leurs propositions pacifiques. Cléon s'apercevant qu'on lui en voulait pour s'être opposé à l'accommodement, prétendit que les nouvelles étaient fausses, et comme ceux qui arrivaient de Pylos demandaient, si on ne les croyait pas, qu'on envoyât sur les lieux pour faire une enquête, les Athéniens choisirent dans ce but Cléon lui-même et Théagène. Alors Cléon sentit qu'il serait obligé de confirmer le rapport de ceux qu'il calomniait ou que, s'il disait le contraire, il serait convaincu d'imposture. Voyant d'ailleurs les Athéniens incliner à la guerre, il leur conseilla de renoncer à une enquête qui entraînerait des longueurs; mais, si les nouvelles leur paraissaient vraies, de cingler immédiatement contre les ennemis. Lançant ensuite une insinuation contre le général Nicias, fils de Nicératos, le chef de l'armée, et dont il était l'ennemi, il déclara que, si les généraux étaient des hommes, il leur serait aisé, avec les forces dont ils disposaient, d'aller s'em-

ἐκπλεύσεσθαι τοῖς πλοίοις
ἃ ἦγεν αὐτοῖς τὸν σῖτον.
Ἐφοβοῦντο δὲ
μάλιστα πάντων
τοὺς Λακεδαιμονίους,
ὅτι ἐνόμιζον
αὐτοὺς ἔχοντάς τι ἰσχυρὸν
οὐκέτι ἐπικηρυκεύεσθαι
σφίσιν
καὶ μετεμέλοντο
οὐ δεξάμενοι τὰς σπονδάς.
Κλέων δὲ,
γνοὺς τὴν ὑποψίαν αὐτῶν
ἐς αὐτὸν
περὶ τῆς κωλύμης
τῆς ξυμβάσεως,
ἔφη τοὺς ἐξαγγέλλοντας
οὐ λέγειν τὰ ἀληθῆ.
Τῶν δὲ ἀφιγμένων
παραινούντων,
εἰ μὴ πιστεύουσι σφίσι,
πέμψαι τινὰς κατασκόπους,
αὐτὸς ἠρέθη
ὑπὸ Ἀθηναίων
κατάσκοπος
μετὰ Θεαγένους.
Καὶ γνοὺς
ὅτι ἀναγκασθήσεται
λέγειν τὰ αὐτὰ
οἷς διέβαλλεν,
ἢ εἰπὼν τὰ ἐναντία
φανήσεσθαι ψευδὴς,
παρήνει τοῖς Ἀθηναίοις,
ὁρῶν αὐτοὺς
καὶ ὡρμημένους τῇ γνώμῃ
τι τὸ πλέον
στρατεύειν,
ὡς χρὴ
μὴ μὲν πέμπειν
κατασκόπους
μηδὲ διαμέλλειν
παριέντας καιρὸν,
εἰ δὲ τὰ ἀγγελλόμενα
δοκεῖ αὐτοῖς εἶναι ἀληθῆ,
πλεῖν ἐπὶ τοὺς ἄνδρας.
Καὶ ἀπεσήμαινεν ἐς Νικίαν
τὸν Νικηράτου
ὄντα στρατηγὸν,
ὢν ἐχθρὸς,
καὶ ἐπιτιμῶν εἶναι ῥᾴδιον

devoir s'embarquer sur les barques
qui apportaient à eux les vivres.
D'autre part ils redoutaient
le plus de tout
les Lacédémoniens,
parce qu'ils pensaient
eux ayant quelque *espoir* solide
ne-plus négocier
avec eux
et ils se-repentaient [trêve.
n'ayant (de n'avoir) pas accepté la
Cléon d'autre part,
ayant reconnu le soupçon d'eux
à-l'égard-de lui,
au sujet de l'obstacle [convention,
de la (qu'il avait apporté à la)
disait ceux qui annonçaient *cela*
ne pas dire les choses vraies.
Or ceux étant arrivés
conseillant,
si ils ne croient pas eux,
d'envoyer des inspecteurs,
lui-même (Cléon) fut choisi
par les Athéniens
comme inspecteur
avec Théagène.
Et ayant reconnu
qu'il sera forcé
de dire les mêmes choses
que ceux qu'il calomniait,
ou disant les choses contraires
devoir être-évidemment menteur,
il conseillait aux Athéniens,
voyant eux
poussés aussi par leur sentiment
en quelque chose plus (plutôt)
à faire-la-guerre,
qu'il faut
d'une part ne pas envoyer
des inspecteurs
ni différer
laissant-échapper l'occasion, [cées
d'autre part si les *nouvelles* annon-
paraissent à eux être vraies, [mis.)
naviguer vers les hommes (les enne-
Et il faisait-allusion à Nicias
le *fils* de Nicératos
qui était stratège,
lui, *Cléon*, étant *son* ennemi,
et disant-avec-reproche être facile

στρατηγοὶ, πλεύσαντας λαβεῖν τοὺς ἐν τῇ νήσῳ, καὶ αὐτός γ' ἂν, εἰ ἦρχε, ποιῆσαι τοῦτο.

XXVIII. Ὁ δὲ Νικίας, τῶν τε Ἀθηναίων τι ὑποθορυβησάντων ἐς τὸν Κλέωνα, ὅ τι[1] οὐ καὶ νῦν πλεῖ, εἰ ῥᾴδιόν γε αὐτῷ φαίνεται, καὶ ἅμα ὁρῶν αὐτὸν ἐπιτιμῶντα, ἐκέλευεν ἥντινα βούλεται δύναμιν λαβόντα τὸ ἐπὶ σφᾶς εἶναι[2] ἐπιχειρεῖν. Ὁ δὲ τὸ μὲν πρῶτον οἰόμενος αὐτὸν λόγῳ μόνον ἀφιέναι, ἑτοῖμος ἦν, γνοὺς δὲ τῷ ὄντι παραδωσείοντα, ἀνεχώρει, καὶ οὐκ ἔφη αὐτὸς ἀλλ' ἐκεῖνον στρατηγεῖν, δεδιὼς ἤδη καὶ οὐκ ἂν οἰόμενός οἱ αὐτὸν τολμῆσαι ὑποχωρῆσαι· αὖθις δὲ ὁ Νικίας ἐκέλευε, καὶ ἐξίστατο τῆς ἐπὶ Πύλῳ ἀρχῆς, καὶ μαρτύρας τοὺς Ἀθηναίους ἐποιεῖτο. Οἱ δὲ, οἷον ὄχλος φιλεῖ ποιεῖν, ὅσῳ μᾶλλον ὁ Κλέων ὑπέφευγε τὸν πλοῦν καὶ ἐξανεχώρει τὰ εἰρημένα, τόσῳ ἐπεκελεύοντο τῷ Νικίᾳ

parer des guerriers de l'île ; ajoutant que lui-même, s'il était général, il n'hésiterait pas à le faire.

XXVIII. Les Athéniens murmuraient contre Cléon et disaient : « Que ne part-il sur-le-champ, si la chose lui paraît facile ? » Nicias, attaqué directement, répondit que les généraux l'autorisaient pour leur part à prendre toutes les troupes qu'il voudrait et à tenter l'entreprise. Cléon, ne croyant pas d'abord que cette offre fût sérieuse, y donnait les mains ; mais, lorsqu'il vit que c'était tout de bon, il tergiversa, disant qu'après tout, ce n'était pas lui, mais Nicias, qui était général. Il commençait à craindre, sans le croire toutefois, qu'il ne lui cédât effectivement la place. Alors Nicias, revenant à la charge, se démit du commandement de Pylos, et en prit l'assemblée à témoin. A mesure que Cléon reculait et rétractait ses paroles, le peuple, par un de ces mouvements familiers à la multitude, criait à Nicias

πλεύσαντας — ayant navigué
παρασκευῇ — avec des préparatifs *suffisants*
λαβεῖν τοὺς ἐν τῇ νήσῳ, — de prendre ceux qui étaient dans
εἰ οἱ στρατηγοὶ — si les stratèges [l'île,
εἶεν ἄνδρες, — étaient des hommes,
καὶ αὐτός γε — et lui-même certes
ποιῆσαι ἂν τοῦτο, — pouvoir faire cela,
εἰ ηρχεν. — s'il commandait.

XXVIII. Ὁ δὲ Νικίας, — XXVIII. Or Nicias,
τῶν τε Ἀθηναίων — et les Athéniens
ὑποθορυβησάντων τι — ayant murmuré quelque-peu
ἐς τὸν Κλέωνα, — contre Cléon,
ὅ τι — *demandant* pourquoi
οὐ πλεῖ — il ne s'embarque pas
καὶ νῦν, — encore maintenant,
εἰ φαίνεται αὐτῷ — puisque *la chose* paraît à lui
ῥᾴδιόν γε, — facile certes,
καὶ ἅμα ὁρῶν αὐτὸν — et en-même-temps voyant lui
ἐπιτιμῶντα, — *le* critiquant *lui-même*,
ἐκέλευεν λαβόντα δύναμιν — *l'*engageait ayant pris des forces
ἥντινα — quelles-que-soient-celles-que
βούλεται — il veut *prendre*
τὸ εἶναι — *en* ce qui était
ἐπὶ σφᾶς — au-pouvoir-d'eux (les stratèges)
ἐπιχειρεῖν. — d'entreprendre *la chose*.
Ὁ δὲ — Mais lui
οἰόμενος τὸ μὲν πρῶτον — croyant d'une part d'abord [ment
αὐτὸν ἀφιέναι — celui-là renoncer *au* commande-
λόγῳ μόνον, — en parole seulement,
ἦν ἑτοῖμος, — était disposé,
γνοὺς δὲ — d'autre part ayant reconnu [lité,
παραδωσείοντα τῷ ὄντι, — *lui* ayant-envie-de-*le*-céder en réa-
ἀνεχώρει, — il reculait,
καὶ ἔφη οὐκ αὐτὸς — et disait non lui-même
ἀλλὰ ἐκεῖνον στρατηγεῖν, — mais celui-là être-stratège,
δεδιὼς ἤδη — craignant déjà,
καὶ οὐκ οἰόμενος — et ne croyant pas
αὐτὸν τολμῆσαι ἄν — lui (Nicias) pouvoir oser
ὑποχωρῆσαί οἱ· — se-retirer-devant lui-même ;
ὁ δὲ Νικίας — d'autre part Nicias
ἐκέλευεν αὖθις, — *l'*engageait de-nouveau,
καὶ ἐξίστατο τῆς ἀρχῆς — et se-désistait du commandement
ἐπὶ Πύλῳ, — auprès de (devant) Pylos,
καὶ ἐποιεῖτο μάρτυρας — et faisait-pour-lui témoins
τοὺς Ἀθηναίους. — les Athéniens.
Οἱ δὲ, — D'autre part ceux-ci,
οἷον ὄχλος φιλεῖ ποιεῖν, — comme la foule a-coutume de faire,
ἐπεκελεύοντο τῷ Νικίᾳ — ordonnaient à Nicias
παραδιδόναι τὴν ἀρχὴν — de remettre le commandement
καὶ ἐπεβόων ἐκείνῳ — et criaient à celui-là

παραδιδόναι τὴν ἀρχὴν καὶ ἐκείνῳ ἐπεβόων πλεῖν. Ὥστε οὐκ ἔχων ὅπως τῶν εἰρημένων ἔτι ἐξαπαλλαγῇ, ὑφίσταται τὸν πλοῦν, καὶ παρελθὼν οὔτε[1] φοβεῖσθαι ἔφη Λακεδαιμονίους, πλεύσεσθαί τε λαβὼν ἐκ μὲν τῆς πόλεως οὐδένα, Λημνίους δὲ καὶ Ἰμβρίους τοὺς παρόντας[2], καὶ πελταστὰς οἳ ἦσαν ἔκ τε Αἴνου[3] βεβοηθηκότες, καὶ ἄλλοθεν τοξότας τετρακοσίους· ταῦτα δὲ ἔχων ἔφη πρὸς τοῖς ἐν Πύλῳ στρατιώταις ἐντὸς ἡμερῶν εἴκοσιν ἢ ἄξειν Λακεδαιμονίους ζῶντας ἢ αὐτοῦ ἀποκτενεῖν. Τοῖς δὲ Ἀθηναίοις ἐνέπεσε μέν τι καὶ γέλωτος τῇ κουφολογίᾳ αὐτοῦ, ἀσμένοις δ' ὅμως ἐγίγνετο[4] τοῖς σώφροσι τῶν ἀνθρώπων, λογιζομένοις δυοῖν ἀγαθοῖν τοῦ ἑτέρου τεύξεσθαι, ἢ Κλέωνος ἀπαλλαγήσεσθαι, ὃ μᾶλλον ἤλπιζον, ἢ σφαλεῖσι γνώμης Λακεδαιμονίους σφίσι χειρώσεσθαι.

XXIX. Καὶ πάντα διαπραξάμενος ἐν τῇ ἐκκλησίᾳ, καὶ

de se démettre, et à Cléon de partir. Ainsi pris au mot, Cléon se décide à s'embarquer. Il déclare devant le peuple qu'il n'a pas peur des Lacédémoniens ; qu'il n'emmènera personne de la ville, mais seulement les Lemniens et les Imbriens, alors à Athènes, des peltastes venus d'Énos en qualité d'auxiliaires, et quatre cents archers d'autres pays. Avec ces troupes, réunies à l'armée déjà sur les lieux, il se fait fort d'amener dans vingt jours les Lacédémoniens captifs ou de les tuer sur place. Les Athéniens riaient de la fatuité de ce langage ; mais les gens sensés s'applaudissaient en pensant que de deux biens l'un était infaillible : ou d'être débarrassés de Cléon, ce qui leur paraissait le plus probable ; ou, dans le cas contraire, de tenir les Lacédémoniens en leur pouvoir.

XXIX. Après avoir pris toutes les dispositions dans l'assem-

πλεῖν	de prendre-la-mer
τοσῷ	d'autant *plus*
ὅσῳ ὁ Κλέων	que Cléon
ὑπέφευγε μᾶλλον	esquivait davantage
τὸν πλοῦν	la navigation (l'expédition)
καὶ ἐξανεχώρει	et reculait
τὰ εἰρημένα.	quant aux choses dites *par lui.*
Ὥστε	De-sorte-que
οὐκ ἔχων	n'ayant pas (ne sachant pas)
ὅπως ἐξαπαλλαγῇ ἔτι	comment il se dégagera encore
τῶν εἰρημένων,	des choses dites *par lui.*
ὑφίσταται τὸν πλοῦν,	il se charge de la navigation,
καὶ παρελθὼν ἔφη	et s'étant avancé il dit
οὔτε φοβεῖσθαι	et-ne pas craindre
Λακεδαιμονίους,	les Lacédémoniens,
πλεύσεσθαί τε	et devoir prendre-la-mer
λαβὼν μὲν οὐδένα	n'ayant pris d'une part personne
ἐκ τῆς πόλεως,	de la ville, [niens
Λημνίους δὲ	d'autre part *ayant pris* des Lem-
καὶ Ἰμβρίους	et des Imbriens
τοὺς παρόντας,	ceux qui étaient-présents,
καὶ πελταστὰς	et des peltastes
οἳ ἦσαν βεβοηθηκότες	qui étaient ayant porté-secours
ἔκ τε Αἴνου,	d'Enos aussi,
καὶ τετρακοσίους τοξότας	et quatre-cents archers
ἄλλοθεν·	*venus* d'autre-part :
ἔφη δὲ ἔχων ταῦτα	et il dit *lui* ayant ces *forces*
πρὸς τοῖς στρατιώταις	outre les soldats
ἐν Πύλῳ	dans (devant) Pylos [niens
ἢ ἄξειν Λακεδαιμονίους	ou devoir amener les Lacédémo-
ζῶντας	vivants
ἢ ἀποκτενεῖν αὐτοῦ	ou devoir *les* tuer là-même
ἐντὸς εἴκοσιν ἡμερῶν.	dans-l-'espace-de vingt jours.
Τὶ δὲ καὶ γέλωτος	Or quelque-peu de rire aussi
ἐνέπεσε μὲν	tomba d'une part
τοῖς Ἀθηναίοις	sur les Athéniens [gage,
τῇ κουφολογίᾳ	par suite de la légèreté-de-lan-
αὐτοῦ,	de lui, [rivait
ὅμως δὲ ἐγίγνετο	d'autre part pourtant *la chose* ar-
τοῖς σώφροσι τῶν ἀνθρώπων	pour les sensés d'entre les hommes
ἀσμένοις,	satisfaits (les satisfaisait),
λογιζομένοις τεύξεσθαι	songeant *eux* devoir obtenir
δυοῖν ἀγαθοῖν τοῦ ἑτέρου,	de deux biens l'un,
ἢ ἀπαλλαγήσεσθαι Κλέωνος,	ou devoir être débarrassés de Cléon,
ὃ ἤλπιζον μᾶλλον,	*ce* qu'ils prévoyaient plutôt,
ἢ χειρώσεσθαι	ou *Cléon* devoir s'emparer
Λακεδαιμονίους	des Lacédémoniens
σφίσι σφαλεῖσι γνώμης.	pour eux déçus de *leur* attente.
XXIX. Καὶ	XXIX. Et
διαπραξάμενος πάντα	ayant achevé toutes *ces* choses

ψηφισαμένων Ἀθηναίων αὐτῷ τὸν πλοῦν, τῶν τε ἐν Πύλῳ στρατηγῶν ἕνα προσελόμενος[1] Δημοσθένη, τὴν ἀναγωγὴν διὰ τάχους ἐποιεῖτο. Τὸν δὲ Δημοσθένη προσέλαβε πυνθανόμενος τὴν ἀπόβασιν αὐτὸν ἐς τὴν νῆσον διανοεῖσθαι. Οἱ γὰρ στρατιῶται, κακοπαθοῦντες τοῦ χωρίου τῇ ἀπορίᾳ, καὶ μᾶλλον πολιορκούμενοι ἢ πολιορκοῦντες ὥρμηντο διακινδυνεῦσαι. Καὶ αὐτῷ ἔτι ῥώμην καὶ ἡ νῆσος ἐμπρησθεῖσα παρέσχε. Πρότερον μὲν γὰρ οὔσης αὐτῆς ὑλώδους ἐπὶ τὸ πολὺ καὶ ἀτριβοῦς διὰ τὴν ἀεὶ ἐρημίαν, ἐφοβεῖτο, καὶ πρὸς τῶν πολεμίων τοῦτο ἐνόμιζε μᾶλλον εἶναι· πολλῷ γὰρ ἂν στρατοπέδῳ ἀποβάντι ἐξ ἀφανοῦς χωρίου προσβάλλοντας αὐτοὺς βλάπτειν· σφίσι μὲν γὰρ τὰς ἐκείνων ἁμαρτίας καὶ παρασκευὴν ὑπὸ τῆς ὕλης οὐκ ἂν ὁμοίως δῆλα εἶναι, τοῦ δὲ αὐτῶν στρατοπέδου καταφανῆ ἂν εἶναι πάντα τὰ ἁμαρτήματα, ὥστε προσπίπτειν ἂν αὐτοὺς ἀπροσδοκήτως ἢ βούλοιντο· ἐπ' ἐκείναις γὰρ ἂν εἶναι τὴν ἐπιχείρησιν. Εἰ δ' αὖ

blée et reçu à cet effet les suffrages du peuple, Cléon accéléra le départ. De tous les généraux qui étaient à Pylos, il ne s'adjoignit pour collègue que Démosthène. C'est qu'il avait appris que ce général songeait lui-même à faire une descente dans l'île. En effet ses soldats qui souffraient de leur dénûment et qui étaient moins assiégeants qu'assiégés, brûlaient d'en venir à une action décisive. Un incendie survenu dans l'île avait achevé de l'y déterminer. Jusque-là il avait craint de s'engager sur un terrain fourré, désert et sans chemins battus. Cette circonstance lui paraissait favorable aux ennemis, qui pourraient, en sortant de leurs retraites obscures, faire beaucoup de mal à une armée même nombreuse descendue à terre. Leurs dispositions et les fautes qu'ils pourraient commettre seraient masquées par l'épaisseur de la forêt, tandis que celles des Athéniens seraient à découvert. Maître de choisir son terrain, l'ennemi pourrait, dans un moment donné, tomber sur eux à l'improviste. Si les

ἐν τῇ ἐκκλησίᾳ,
καὶ Ἀθηναίων ψηφισαμένων
τὸν πλοῦν αὐτῷ,
προσελόμενός τε ἕνα
τῶν στρατηγῶν ἐν Πύλῳ
Δημοσθένη,
ἐποιεῖτο τὴν ἀναγωγὴν
διὰ τάχους.
Προσέλαβε δὲ
τὸν Δημοσθένη,
πυνθανόμενος αὐτὸν
διανοεῖσθαι
τὴν ἀπόβασιν ἐς τὴν νῆσον.
Οἱ γὰρ στρατιῶται,
κακοπαθοῦντες
τῇ ἀπορίᾳ τοῦ χωρίου,
καὶ μᾶλλον πολιορκούμενοι
ἢ πολιορκοῦντες,
ὥρμηντο
διακινδυνεῦσαι.
Καὶ ἔτι
καὶ ἡ νῆσος ἐμπρησθεῖσα
παρέσχεν αὐτῷ
ῥώμην.
Αὐτῆς μὲν γὰρ
οὔσης πρότερον ὑλώδους
ἐπὶ τὸ πολὺ
καὶ ἀτριβοῦς
διὰ τὴν ἐρημίαν ἀεί,
ἐφοβεῖτο,
καὶ ἐνόμιζε τοῦτο εἶναι
μᾶλλον πρὸς τῶν πολεμίων·
αὐτοὺς γὰρ προσβάλλοντας
ἐκ χωρίου ἀφανοῦς
πολλῷ στρατοπέδῳ ἀποβάντι
βλάπτειν ἄν·
τὰς μὲν γὰρ ἁμαρτίας
καὶ παρασκευὴν ἐκείνων
οὐκ εἶναι ἂν ὁμοίως
δῆλα σφίσιν
ὑπὸ τῆς ὑλῆς,
πάντα δὲ τὰ ἁμαρτήματα
τοῦ στρατοπέδου αὐτῶν
εἶναι ἂν καταφανῆ,
ὥστε αὐτοὺς
προσπίπτειν ἂν ἀπροσδοκήτως
ᾗ βούλοιντο·
τὴν γὰρ ἐπιχείρησιν
εἶναι ἐπὶ ἐκείνοις.
Εἰ δὲ αὖ

dans l'assemblée
et les Athéniens ayant voté
la navigation pour lui,
XLI. A l'arrivée des prisonniers, les Athéniens arrêtèrent de les tenir aux fers en attendant qu'une convention fût intervenue, et en se réservant de les mettre à mort si jusque-là les Lacédémoniens envahissaient l'Attique. Une garnison fut établie à Pylos. Les Messéniens de Naupacte y envoyèrent leurs gens les plus alertes. A leurs yeux, c'était la patrie; car Pylos avait jadis appartenu à la Messénie. Ils mirent la Laconie au pillage et y firent d'autant plus de mal qu'ils parlaient le même dialecte. Cette guerre de brigandage était nouvelle pour les Lacédémoniens; leurs Hilotes désertaient; on pouvait craindre que l'esprit de révolte ne gagnât toute la contrée; ils étaient donc fort alarmés.

διὰ ἀχθηδόνα
ἕνα τῶν αἰχμαλώτων
ἐκ τῆς νήσου
εἰ οἱ αὐτῶν
τεθνεῶτες
καλοὶ καὶ ἀγαθοὶ,
ἀπεκρίνατο αὐτῷ
τὸν ἄτρακτον,
λέγων τὸν οἰστὸν,
εἶναι ἂν
ἄξιον πολλοῦ,
εἰ διεγίγνωσκε τοὺς ἀγαθοὺς,
ποιούμενος δήλωσιν
ὅτι ὁ ἐντυγχάνων
τοῖς τε λίθοις καὶ τοξεύμασι
διεφθείρετο.

par peine (pour lui faire de la pei-
à un des prisonniers [ne)
venus de l'île
si ceux d'entre eux
qui étaient morts
étaient beaux et bons (braves),
il répondit à lui
le bois *de la flèche*,
désignant *par là* la flèche,
devoir être
digne d'un grand *prix*, [ves),
s'il distinguait les bons (les bra-
faisant l'indication [sard
que celui qui rencontrait-par-ha-
et les pierres et les flèches
périssait.

XLI. Τῶν δὲ ἀνδρῶν
κομισθέντων
οἱ Ἀθηναῖοι ἐβούλευσαν
φυλάσσειν μὲν αὐτοὺς
δεσμοῖς,
μέχρι οὗ
ξυμβῶσί τι·
ἢν δὲ οἱ Πελοποννήσιοι
ἐμβάλλωσιν πρὸ τούτου
ἐς τὴν γῆν,
ἐξαγάγοντες
ἀποκτεῖναι.
Κατεστήσαντο δὲ
τὴν φυλακὴν τῆς Πύλου,
καὶ οἱ Μεσσήνιοι
ἐκ τῆς Ναυπάκτου
πέμψαντες
ὡς ἐς ταύτην πατρίδα
(ἡ γὰρ Πύλος ἐστὶ
τῆς γῆς οὔσης ποτὲ
Μεσσηνίδος)
τοὺς σφῶν αὐτῶν
ἐπιτηδειοτάτους
ἐλήζοντο τὴν Λακωνικὴν
καὶ ἔβλαπτον πλεῖστα
ὄντες ὁμόφωνοι.
Οἱ δὲ Λακεδαιμόνιοι
ὄντες ἀμαθεῖς
λῃστείας
καὶ τοιούτου πολέμου,
τῶν τε Εἱλώτων αὐτομολούντων
καὶ φοβούμενοι
μή τι τῶν κατὰ τὴν χώραν
νεωτερισθῇ σφίσιν

XLI. Or les hommes
ayant été amenés,
les Athéniens résolurent
d'une part de garder eux
par des chaînes (en prison)
jusqu'à ce que [chose;
ils soient convenus de quelque-
si d'autre part les Péloponnésiens
font-irruption avant cela
dans leur territoire,
les ayant tirés *de leur prison*
de *les* tuer.
D'autre part ils établirent
la garnison de Pylos,
et les Messéniens
de Naupacte
ayant envoyé [trie
comme dans celle-ci *étant leur* pa-
(car Pylos est
de la terre qui était autrefois
messénienne)
ceux d'entre eux mêmes
les plus propres à *cela*
pillaient la Laconie
et nuisaient très fort
étant de-même-langage.
Or les Lacédémoniens [souffert)
étant ignorants (n'ayant jamais
du pillage
et d'une telle guerre,
et les Hilotes désertant
et *eux* craignant [le pays
que quelque chose de celles dans
ne fût changé contre eux

κατὰ τὴν χώραν, οὐ ῥᾳδίως ἔφερον, ἀλλὰ, καίπερ οὐ βουλόμενοι ἔνδηλοι εἶναι τοῖς Ἀθηναίοις, ἐπρεσβεύοντο παρ' αὐτοὺς καὶ ἐπειρῶντο τήν τε Πύλον καὶ τοὺς ἄνδρας κομίζεσθαι. Οἱ δὲ μειζόνων τε ὠρέγοντο καὶ πολλάκις φοιτώντων αὐτοὺς ἀπράκτους ἀπέπεμπον.

XIII. CLÉON ET BRASIDAS A AMPHIPOLIS.

(Liv. V, §§ 6-11).

VI. Ὁ δὲ Κλέων ὡς ἀπὸ τῆς Τορώνης[1] τότε περιέπλευσεν ἐπὶ τὴν Ἀμφίπολιν, ὁρμώμενος ἐκ τῆς Ἠιόνος[2] Σταγείρῳ μὲν προσβάλλει Ἀνδρίων ἀποικίᾳ καὶ οὐχ εἷλε, Γαληψὸν[3] δὲ τὴν Θασίων ἀποικίαν λαμβάνει κατὰ κράτος. Καὶ πέμψας ὡς Περδίκκαν πρέσβεις, ὅπως παραγένοιτο στρατιᾷ κατὰ τὸ ξυμμαχικὸν, καὶ ἐς τὴν Θρᾴκην ἄλλους παρὰ Πολλῆν τὸν Ὀδομάντων βασιλέα, ἄξοντα μισθοῦ Θρᾷκας ὡς πλείστους, αὐτὸς ἡσύχαζε περιμένων ἐν τῇ Ἠιόνι. Βρασίδας δὲ πυνθανόμενος ταῦτα ἀντεκάθητο καὶ αὐτὸς ἐπὶ τῷ Κερδυλίῳ· ἔστι δὲ τὸ χωρίον τοῦτο Ἀργιλίων ἐπὶ μετεώρου πέραν τοῦ

Aussi, tout en désirant dissimuler aux Athéniens leurs inquiétudes, ils ne laissèrent pas de leur envoyer des députés pour obtenir, s'il se pouvait, la restitution de Pylos et de leurs guerriers. Mais les Athéniens avaient des prétentions trop élevées. Ils reçurent plusieurs ambassades qu'ils renvoyèrent sans rien accorder.

XIII

VI. Cependant Cléon, après avoir quitté Torone, avait cinglé contre Amphipolis. D'Eïon, il était allé attaquer Stagire, colonie des Andriens. Il ne l'avait point prise, mais il avait emporté d'assaut Galepsos, colonie des Thasiens. Il avait envoyé une première députation à Perdiccas, lui demander, aux termes du traité, de venir le joindre avec des troupes, et une seconde en Thrace, auprès de Pollès, roi des Odomantes, pour qu'il amenât le plus possible de Thraces mercenaires. En attendant, il restait cantonné à Eïon. Instruit de ces détails, Brasidas alla se poster en face des Athéniens, au-dessus de Cerdylion. C'est une place appartenant aux Argiliens et située sur une éminence, de l'autre côté du fleuve, à

ἐπὶ μακρότερον,
οὐκ ἔφερον
ῥᾳδίως,
ἀλλὰ καίπερ
οὐ βουλόμενοι εἶναι
ἔνδηλοι τοῖς Ἀθηναίοις,
ἐπρεσβεύοντο πρὸς αὐτοὺς
καὶ ἐπειρῶντο κομίζεσθαι
τήν τε Πύλον καὶ τοὺς ἄνδρας.
Οἱ δὲ
ὠρέγοντό τε
μειζόνων
καὶ φοιτώντων πολλάκις
ἀπέπεμπον αὐτοὺς
ἀπράκτους.

jusqu'à une *mesure* plus grande,
ne supportaient pas *cela*
facilement,
mais, quoique
ne voulant pas être [*tant pas cela*,
visibles aux Athéniens ne *suppor-*
députaient vers eux
et espéraient obtenir
et Pylos et les hommes.
Mais ceux-ci (les Athéniens)
et désiraient
de plus grandes choses
et *les députés* venant souvent
ils renvoyaient eux
n'ayant-rien-fait.

XIII. CLÉON ET BRASIDAS A AMPHIPOLIS.

VI. Ὁ δὲ Κλέων
ὡς τότε περιέπλευσεν
ἀπὸ τῆς Τορώνης
ἐπὶ τὴν Ἀμφίπολιν,
ὁρμώμενος ἐκ τῆς Ἠιόνος
προσβάλλει μὲν Σταγείρῳ
ἀποικίᾳ Ἀνδρίων
καὶ οὐχ εἷλε,
λαμβάνει δὲ κατὰ κράτος
Γάληψον
τὴν ἀποικίαν Θασίων.
Καὶ πέμψας πρέσβεις
ὡς Περδίκκαν,
ὅπως παραγένοιτο στρατιᾷ
κατὰ τὸ ξυμμαχικόν,
καὶ ἄλλους ἐς τὴν Θράκην
παρὰ Πολλῆν
τὸν βασιλέα Ὀδομάντων,
ἄξοντα μισθοῦ
Θρᾷκας ὡς πλείστους,
αὐτὸς ἡσύχαζε
περιμένων ἐν Ἠιόνι.
Βρασίδας δὲ
πυνθανόμενος ταῦτα
ἀντεκάθητο καὶ αὐτὸς
ἐπὶ τῷ Κερδυλίῳ·
τοῦτο δὲ τὸ χωρίον
ἐστὶν Ἀργιλίων
ἐπὶ μετεώρου

VI. Or Cléon [mer
lorsqu'alors il eut fait-le-tour-par-
de Torone
à Amphipolis,
partant d'Eion
d'une part attaque Stagire
colonie des Andriens
et il ne *la* prit pas,
d'autre part il prend de force
Galepsos
la colonie des Thasiens.
Et ayant envoyé des députés
vers Perdiccas,
afin qu'il se joignît à l'armée
selon le *traité* d'-alliance,
et d'autres en Thrace
auprès de Pollès
le roi des Odomantes,
devant amener moyennant salaire
des Thraces les plus nombreux pos-
lui-même restait-immobile [sible,
attendant à Eïon.
D'autre part Brasidas
apprenant cela
s'était établi-en-face lui aussi
près de Cerdylium :
or cette place
est *une place* des Argiliens
sur une hauteur

ποταμοῦ [1] οὐ πολὺ ἀπέχον τῆς Ἀμφιπόλεως, καὶ κατεφαίνετο πάντα αὐτόθεν, ὥστε οὐκ ἂν ἔλαθεν [αὐτόθεν] ὁρμώμενος ὁ Κλέων τῷ στρατῷ· ὅπερ προσεδέχετο ποιήσειν αὐτὸν, ἐπὶ τὴν Ἀμφίπολιν, ὑπεριδόντα σφῶν τὸ πλῆθος, τῇ παρούσῃ στρατιᾷ ἀναβήσεσθαι. Ἅμα δὲ καὶ παρεσκευάζετο, Θρᾳκάς τε μισθωτοὺς πεντακοσίους καὶ χιλίους καὶ τοὺς Ἠδῶνας πάντας παραλῶν, πελταστὰς καὶ ἱππέας· καὶ Μυρκινίων καὶ Χαλκιδέων χιλίους πελταστὰς εἶχε πρὸς τοῖς ἐν Ἀμφιπόλει. Τὸ δ' ὁπλιτικὸν ξύμπαν ἠθροίσθη δισχίλιοι μάλιστα, καὶ ἱππῆς Ἕλληνες [2] τριακόσιοι. Τούτων Βρασίδας μὲν ἔχων ἐπὶ Κερδυλίῳ ἐκάθητο ἐς πεντακοσίους καὶ χιλίους, οἱ δ' ἄλλοι ἐν Ἀμφιπόλει μετὰ Κλεαρίδου ἐτετάχατο [3].

VII. Ὁ δὲ Κλέων τέως μὲν ἡσύχαζεν, ἔπειτα ἠναγκάσθη ποιῆσαι ὅπερ ὁ Βρασίδας προσεδέχετο. Τῶν γὰρ στρατιωτῶν ἀχθομένων μὲν τῇ ἕδρᾳ, ἀναλογιζομένων δὲ τὴν ἐκείνου

peu de distance d'Amphipolis. De ce point culminant, ses regards plongeaient sur toute la contrée environnante, en sorte que Cléon ne pouvait lui cacher aucun de ses mouvements. Brasidas avait bien prévu que, dédaignant le petit nombre de ses troupes, il monterait à Amphipolis avec les seules forces qu'il avait sous la main. Lui-même se ménageait un renfort de quinze cents Thraces mercenaires et appelait la levée en masse des Édoniens, peltastes et cavaliers. Il avait mille peltastes myrciniens ou chalcidéens, sans compter ceux de l'endroit, environ deux milles hoplites, enfin trois cents cavaliers grecs. De ces troupes, Brasidas ne prit avec lui que quinze cents hommes, lorsqu'il vint camper sur les hauteurs de Cerdylion. Le reste était à Amphipolis, sous les ordres de Cléaridas.

VII. Cléon ne remuait pas encore ; mais enfin il fut obligé de faire ce que Brasidas attendait. En effet ses soldats, fatigués de leur inaction, se prirent à considérer comment il les allait con-

πέραν τοῦ ποταμοῦ,
οὐ πολὺ ἀπέχον
τῆς Ἀμφιπόλεως,
καὶ πάντα κατεφαίνετο
αὐτόθεν,
ὥστε ὁ Κλέων
ὁρμώμενος τῷ στρατῷ
αὐτόθεν
οὐκ ἔλαθεν ἄν·
ὅπερ προσεδέχετο
αὐτὸν ποιήσειν,
ὑπεριδόντα
τὸ πλῆθος
σφῶν
ἀναβήσεσθαι ἐπὶ τὴν Ἀμφίπολιν
τῇ στρατιᾷ παρούσῃ.
Ἅμα δὲ καὶ
παρεσκευάζετο,
παρακαλῶν
πεντακοσίους τε καὶ χιλίους
Θρᾷκας μισθωτοὺς
καὶ πάντας τοὺς Ἠδῶνας,
πελταστὰς καὶ ἱππέας·
καὶ εἶχε
χιλίους πελταστὰς
Μυρκινίων καὶ Χαλκιδέων
πρὸς τοῖς ἐν Ἀμφιπόλει.
Τὸ δὲ ὁπλιτικὸν
ξύμπαν
ἠθροίσθη
δισχίλιοι μάλιστα
καὶ ἱππῆς Ἕλληνες
τριακόσιοι.
Βρασίδας μὲν ἔχων
ἐς πεντακοσίους καὶ χιλίους
τούτων
ἐκάθητο ἐπὶ Κερδυλίῳ,
οἱ δὲ ἄλλοι
ἐτετάχατο
ἐν Ἀμφιπόλει
μετὰ Κλεαρίδου.

VII. Ὁ δὲ Κλέων
τέως μὲν ἡσύχαζεν,
ἔπειτα ἠναγκάσθη
ποιῆσαι ὅπερ
ὁ Βρασίδας προσεδέχετο.
Τῶν γὰρ στρατιωτῶν
ἀχθομένων μὲν
τῇ ἕδρᾳ,
ἀναλογιζομένων δὲ

au delà du fleuve,
pas beaucoup éloignée
d'Amphipolis,
et tout était-visible
de-là,
de-sorte-que Cléon
partant avec son armée
de-là *où il était*
n'aurait pas passé-inaperçu ;
chose qu'il (Brasidas) attendait
lui (Cléon) devoir faire,
à savoir ayant méprisé
le nombre (le petit nombre)
d'eux (Lacédémoniens)
devoir monter à Amphipolis
avec l'armée présente.
En-même-temps d'autre part aussi
il se préparait,
appelant
et cinq-cents et mille
Thraces mercenaires
et tous les Édoniens,
peltastes et cavaliers ;
et il avait
mille peltastes
des Myrciniens et des Chalcidiens
outre ceux à Amphipolis.
D'autre part le *corps* des-hoplites
tout entier
fut rassemblé
deux-mille *hommes* environ
et des cavaliers grecs
au nombre de trois-cents.
Brasidas d'une part ayant
jusqu'à cinq-cents et mille
de ceux-là (de ces troupes)
était établi auprès de Cerdylium,
d'autre part les autres
avaient été rangés
dans Amphipolis
avec Cléaridas.

VII. D'autre part Cléon [bile,
jusque-là d'un côté restait-immo-
ensuite il fut forcé
de faire *ce* que
Brasidas attendait.
Car les soldats
d'une part étant-mécontents
de l'immobilité,
d'autre part considérant

ἡγεμονίαν πρὸς οἵαν ἐμπειρίαν καὶ τόλμαν μετὰ οἵας ἀνεπιστημοσύνης καὶ μαλακίας γενήσοιτο, καὶ οἴκοθεν ὡς ἄκοντες αὐτῷ ξυνεξῆλθον, αἰσθόμενος τὸν θροῦν καὶ οὐ βουλόμενος αὐτοὺς διὰ τὸ ἐν τῷ αὐτῷ καθημένους βαρύνεσθαι, ἀναλαβὼν ἦγε. Καὶ ἐχρήσατο τῷ τρόπῳ ὥπερ καὶ ἐς τὴν Πύλον εὐτυχήσας ἐπίστευσέ τι φρονεῖν· ἐς μάχην μὲν γὰρ οὐδὲ ἤλπισέν οἱ ἐπεξιέναι οὐδένα, κατὰ θέαν δὲ μᾶλλον ἔφη ἀναβαίνειν τοῦ χωρίου, καὶ τὴν μείζω παρασκευὴν περιέμενεν, οὐχ ὡς τῷ ἀσφαλεῖ, ἢν ἀναγκάζηται, περισχήσων, ἀλλ' ὡς κύκλῳ περιστὰς βίᾳ αἱρήσων τὴν πόλιν. Ἐλθών τε καὶ καθίσας ἐπὶ λόφου καρτεροῦ πρὸ τῆς Ἀμφιπόλεως τὸν στρατὸν, αὐτὸς ἐθεᾶτο τὸ λιμνῶδες τοῦ Στρυμόνος καὶ τὴν θέσιν τῆς πόλεως ἐπὶ τῇ Θράκῃ ὡς ἔχοι, ἀπιέναι τε ἐνόμιζεν, ὁπόταν βούληται, ἀμαχε'· καὶ γὰρ οὐδὲ ἐφαίνετο οὔτ' ἐπὶ τοῦ τείχους οὐδεὶς

duire ; à combien d'expérience et d'audace il opposerait son inepties et sa pusillanimité ; enfin avec quelle répugnance ils avaient quitté leurs foyers pour le suivre. Informé de ces murmures, Cléon ne voulut pas que ses soldats s'ennuyassent de leur immobilité. Il leva le camp et se mit en marche. La manœuvre qu'il employa fut la même qui lui avait réussi à Pylos et lui avait fait croire à son génie. Il pensait que personne n'oserait l'attaquer. Il montait, disait-il, pour une simple exploration ; s'il attendait du renfort, ce n'était pas pour s'assurer, en cas d'engagement, la supériorité du nombre, mais pour investir la place et l'emporter de haute lutte. Il s'avança donc et prit position en face d'Amphipolis, sur une colline escarpée ; puis il alla jeter un coup d'œil sur le lac formé par le Strymon et sur le site de la ville du côté de Thrace. Il croyait pouvoir, à son gré, se retirer sans combat. Personne ne se mon-

τὴν ἡγεμονίαν ἐκείνου	le commandement de celui-là
πρὸς οἵαν ἐμπειρίαν	contre quelle expérience [(Cléon)
καὶ τόλμαν	et audace
γενήσοιτο	il serait (il aurait à lutter)
μετὰ οἵας ἀνεπιστημοσύνης	avec quelle ignorance
καὶ μαλακίας,	et *quelle* mollesse,
καὶ ὡς ἄκοντες	et combien malgré-eux
ξυνεξῆλθον αὐτῷ	ils étaient venus-avec lui
οἴκοθεν,	de-la-maison,
αἰσθόμενος τὸν θροῦν	*lui* s'étant aperçu du murmure
καὶ οὐ βουλόμενος	et ne voulant pas
αὐτοὺς βαρύνεσθαι	eux être ennuyés
διὰ τὸ	à cause du
καθημένους ἐν τῷ αὐτῷ,	restant (rester) dans la même *place*,
ἀναλαβὼν ἦγε.	*les* ayant pris-avec *lui* il *les* menait.
Καὶ ἐχρήσατο τῷ τρόπῳ	Et il se servit du moyen
ᾧπερ καὶ εὐτυχήσας	par lequel aussi ayant réussi
ἐς τὴν Πύλον	contre Pylos
ἐπίστευσε	il avait cru
φρονεῖν τι:	être-intelligent en quelque chose;
οὐδὲ μὲν γὰρ ἤλπισεν	car d'un côté il n'avait pas-même
οὐδένα	personne [imaginé
ἐπεξιέναι οἱ	marcher contre lui
ἐς μάχην,	pour le combat,
ἔφη δὲ ἀναβαίνειν	d'un autre côté il disait monter
μᾶλλον κατὰ θέαν	plutôt en observation
τοῦ χωρίου,	de la place,
καὶ περιέμενεν	et il attendait [forts)
τὴν παρασκευὴν μείζονα,	les préparatifs plus grands (les ren-
οὐχ ὡς περισχήσων	non comme devant-être-supérieur
τῷ ἀσφαλεῖ,	par la *manière* sûre (sûrement),
ἢν ἀναγκάζηται,	s'il était forcé *de combattre*, [ville
ἄλλα ὡς αἱρήσων τὴν πόλιν	mais comme devant prendre la
βίᾳ	de force
περιστὰς	s'étant-placé-autour-d'*elle*
κύκλῳ.	en cercle.
Ἐλθών τε	Et étant allé
καὶ καθίσας τὸν στρατὸν	et ayant établi son armée
ἐπὶ λόφου καρτεροῦ	sur une colline forte
πρὸ τῆς πόλεως,	devant la ville,
αὐτὸς ἐθεᾶτο	lui-même considérait
τὸ λιμνῶδες τοῦ Στρυμόνος	la *partie* marécageuse du Strymon
καὶ τὴν θέσιν τῆς πόλεως	et la position de la ville
ἐπὶ τῇ Θράκῃ	vers la Thrace
ὡς ἔχοι,	comment elle était,
ἐνόμιζέ τε ἀπιέναι ἀμαχεί,	et il croyait s'en aller sans-combat,
ὁπόταν βούληται·	quand il *le* voudrait :
καὶ γὰρ οὐδὲ οὐδεὶς	et en effet pas-même personne
οὔτε ἐφαίνετο	ni ne paraissait
ἐπὶ τοῦ τείχους	sur le mur

οὔτε κατὰ πύλας ἐξήει, κεκλημέναι τε ἦσαν πᾶσαι· ὥστε καὶ μηχανὰς ὅτι οὐκ ἀνῆλθεν ἔχων, ἁμαρτεῖν ἐδόκει· ἑλεῖν γὰρ ἂν τὴν πόλιν διὰ τὸ ἐρῆμον.

VIII. Ὁ δὲ Βρασίδας εὐθὺς ὡς εἶδε κινουμένους τοὺς Ἀθηναίους, καταβὰς καὶ αὐτὸς ἀπὸ τοῦ Κερδυλίου ἐσέρχεται ἐς τὴν Ἀμφίπολιν. Καὶ ἐπέξοδον μὲν καὶ ἀντίταξιν οὐκ ἐποιήσατο πρὸς τοὺς Ἀθηναίους, δεδιὼς τὴν αὐτοῦ παρασκευὴν καὶ νομίζων ὑποδεεστέρους[1] εἶναι, οὐ τῷ πλήθει (ἀντίπαλα γάρ πως ἦν), ἀλλὰ τῷ ἀξιώματι (τῶν γὰρ Ἀθηναίων ὅπερ ἐστράτευε καθαρὸν ἐξῆλθε, καὶ Λημνίων καὶ Ἰμβρίων τὸ κράτιστον), τέχνῃ δὲ παρεσκευάζετο ἐπιθησόμενος. Εἰ γὰρ δείξειε τοῖς ἐναντίοις τό τε πλῆθος καὶ τὴν ὅπλισιν ἀναγκαίαν οὖσαν τῶν μεθ' ἑαυτοῦ, οὐκ ἂν ἡγεῖτο μᾶλλον περιγενέσθαι ἢ ἄνευ προόψεώς τε αὐτῶν καὶ μὴ ἀπὸ τοῦ ὄντος καταφρονήσεως. Ἀπολεξάμενος οὖν αὐτὸς πεντήκοντα καὶ ἑκατὸν ὁπλίτας, καὶ τοὺς ἄλλους Κλεαρίδᾳ προ-

trait sur les murs ; personne ne sortait des portes, qui toutes étaient fermées. Aussi regrettait-il de n'avoir pas amené des machines, s'imaginant qu'il aurait pu prendre la ville, dans l'abandon où elle se trouvait.

VIII. Pour Brasidas, il ne vit pas plutot les Athéniens en mouvement, qu'il descendit des hauteurs de Cerdylion et rentra dans Amphipolis. Il renonça à faire des sorties et à se déployer devant les Athéniens. Il se défiait de ses forces et les croyait trop inférieures, non pas en nombre (elles se balançaient presque), mais en qualité ; en effet, l'armée athénienne était exclusivement composée de milices d'Athènes et des meilleurs soldats de Lemnos et d'Imbros. Il méditait un stratagème. S'il eût montré l'effectif de ses troupes et leur chétive tenue, il aurait eu moins de chances de vaincre qu'en les dérobant à la vue et en évitant d'inspirer aux Athéniens un mépris fondé. Il choisit donc cent cinquante hoplites

οὔτε ἐξήει κατὰ πύλας,
πᾶσαί τε ἦσαν κεκλημέναι·
ὥστε καὶ ἐδόκει
ἁμαρτεῖν,
ὅτι οὐκ ἀνῆλθεν
ἔχων μηχανάς·
ἑλεῖν γὰρ ἂν
τὴν πόλιν
διὰ τὸ ἐρῆμον.

VIII. Ὁ δὲ Βρασίδας
εὐθὺς ὡς εἶδε
τοὺς Ἀθηναίους κινουμένους,
καταβὰς καὶ αὐτὸς
ἀπὸ τοῦ Κερδυλίου
εἰσέρχεται ἐς τὴν Ἀμφίπολιν.
Καὶ μὲν οὐκ ἐποίησατο
ἐπέξοδον καὶ ἀντίταξιν
πρὸς τοὺς Ἀθηναίους,
δεδίως
τὴν παρασκευὴν αὐτοῦ
καὶ νομίζων
εἶναι ὑποδεεστέρους
οὐ τῷ πλήθει
(ἦν γάρ πως
ἀντίπαλα),
ἀλλὰ τῷ ἀξιώματι
(τῶν γὰρ Ἀθηναίων
ὅπερ ἐστράτευε
ἐξῆλθε
καθαρὸν,
καὶ Λημνίων
καὶ Ἰμβρίων
τὸ κράτιστον),
παρεσκευάζετο δὲ
ἐπιθησόμενος τέχνῃ.
Εἰ γὰρ δείξειε
τοῖς ἐναντίοις
τό τε πλῆθος
τῶν μετὰ ἑαυτοῦ
καὶ τὴν ὅπλισιν
οὖσαν ἀναγκαίαν
ἡγεῖτο περιγενέσθαι ἂν
οὐ μᾶλλον ἢ
ἄνευ προόψεως τε
αὐτῶν
καὶ μὴ ἀπὸ καταφρονήσεως
τοῦ ὄντος.
Ἀπολεξάμενος οὖν αὐτὸς
πεντήκοντα καὶ ἑκατὸν
ὁπλίτας,

ni ne sortait par les portes,
et toutes étaient fermées;
de-sorte-que même il croyait
avoir fait-une-faute,
de ce qu'il n'était pas monté
ayant (avec) des machines ;
car *lui* avoir pu prendre
la ville
à cause de l'abandon.

VIII. D'autre part Brasidas
aussitôt qu'il vit
les Athéniens bougeant,
étant descendu aussi lui-même
de Cerdylion
marche contre Amphipolis.
Et d'une part il ne fit pas
sortie ni déploiement-en-face
contre les Athéniens,
craignant (se méfiant de)
l'appareil de lui-même (de ses pro-
et pensant [pres troupes)
ses soldats être inférieurs
non par le nombre
(car *les choses* étaient à peu près
égales),
mais par la valeur (la qualité)
(car parmi les Athéniens
ce qui faisait-partie-de-l'expédition
était sorti *d'Athènes*
pur (sans mélange d'étrangers),
et parmi les Lemniens
et les Imbriens
la *partie* la plus forte),
d'autre part il se préparait [ruse.
devant attaquer (à attaquer) par
Car s'il montrait
à ses adversaires
et le nombre
de ceux *étant* avec lui-même
et *leur* armement
étant fourni-par-la-nécessité,
il pensait devoir vaincre
non plus (moins facilement) que
sans et la vue-préalable
d'eux-mêmes
et non après (sans)le mépris
de *ce* qui était (de leur état).
Ayant donc choisi lui-même
cinquante et cent
hoplites,

στάξας, ἐβουλεύετο ἐπιχειρεῖν αἰφνιδίως, πρὶν ἀπελθεῖν τοὺς Ἀθηναίους, οὐκ ἂν νομίζων αὐτοὺς ὁμοίως ἀπολαβεῖν αὖθις μεμονωμένους, εἰ τύχοι ἐλθοῦσα αὐτοῖς ἡ βοήθεια. Ξυγκαλέσας δὲ τοὺς πάντας στρατιώτας καὶ βουλόμενος παραθαρσῦναί τε καὶ τὴν ἐπίνοιαν φράσαι ἔλεγε τοιάδε.

IX. « Ἄνδρες Πελοποννήσιοι, ἀπὸ μὲν οἵας χώρας ἥκομεν, ὅτι ἀεὶ διὰ τὸ εὔψυχον ἐλευθέρας, καὶ ὅτι Δωριῆς μέλλετε Ἴωσι μάχεσθαι, ὧν εἰώθατε κρείσσους εἶναι, ἀρκείτω βραχέως δεδηλωμένον· τὴν δὲ ἐπιχείρησιν ᾧ τρόπῳ διανοοῦμαι ποιεῖσθαι διδάξω, ἵνα μή τῳ τὸ κατ' ὀλίγον καὶ μὴ ἅπαντας κινδυνεύειν ἐνδεὲς φαινόμενον ἀτολμίαν παράσχῃ. Τοὺς γὰρ ἐναντίους εἰκάζω καταφρονήσει τε ἡμῶν καὶ οὐκ ἂν ἐλπίσαντας ὡς ἂν ἐπεξέλθοι τις αὐτοῖς ἐς μάχην, ἀναβῆναί τε πρὸς τὸ χωρίον καὶ νῦν ἀτάκτως κατὰ θέαν τετραμμένους ὀλιγωρεῖν. Ὅστις δὲ τὰς τοιαύτας ἁμαρτίας τῶν ἐναντίων κάλλιστα

et confia le reste à Cléaridas. Son dessein était d'attaquer subitement les Athéniens avant leur retraite ; car il ne croyait pas qu'il fût possible, lorsqu'ils auraient reçu leurs renforts, de les trouver une autre fois réduits à eux-mêmes. Ayant donc rassemblé ses soldats pour les animer et leur exposer son projet, il leur parla en ces termes :

IX. « Soldats péloponnésiens, je pourrais simplement vous rappeler que nous venons d'une contrée toujours libre par son courage, et que Doriens vous allez combattre ces Ioniens que vous avez tant de fois vaincus. Mais je veux vous exposer mon plan d'attaque, afin que vous ne soyez pas découragés par la pensée que j'ai tort de n'engager qu'une partie de mes forces. C'est sans doute par mépris pour nous et dans l'espoir que nul ne sortirait à leur rencontre, que les Athéniens sont montés sur la colline, où, sans aucun ordre, ils contemplent en pleine sécurité le paysage qui s'offre à leurs yeux. Lorsqu'on aperçoit de telles fautes chez un ennemi et qu'on mesure ses forces pour l'attaquer,

καὶ προστάξας τοὺς ἄλλους
Κλεαρίδᾳ,
ἐβουλεύετο ἐπιχειρεῖν
αἰφνιδίως
πρὶν τοὺς Ἀθηναίους
ἀπελθεῖν,
νομίζων οὐκ ἀπολαβεῖν ἂν
αὖθις αὐτοὺς
ὁμοίως μεμονωμένους,
εἰ ἡ βοήθεια τύχοι
ἐλθοῦσα αὐτοῖς.
Ξυγκαλέσας δὲ
πάντας τοὺς στρατιώτας
καὶ βουλόμενος
παραθαρσῦναί τε
καὶ φράσαι τὴν ἐπίνοιαν
ἔλεγε τοιάδε·
IX. « Ἄνδρες Πελοποννήσιοι,
ἀρκείτω δεδηλωμένον
βραχέως
ἀπὸ μὲν οἵας χώρας
ἥκομεν,
ὅτι
ἐλευθέρας ἀεὶ
διὰ τὸ εὔψυχόν,
καὶ ὅτι Δωριῆς
μέλλετε μάχεσθαι Ἴωσιν,
ὧν εἰώθατε
εἶναι κρείσσους·
διδάξω δὲ
ᾧ τρόπῳ διανοοῦμαι
ποιεῖσθαι τὴν ἐπιχείρησιν,
ἵνα μὴ τὸ κινδυνεύειν
κατὰ ὀλίγον
καὶ μὴ ἅπαντας
φαινόμενον ἐνδέες
παράσχῃ τῳ ἀτολμίαν.
Εἰκάζω γὰρ
τοὺς ἐναντίους
καταφρονήσει τε ἡμῶν
καὶ οὐκ ἐλπίσαντας ἄν
ὥς τις ἐπεξέλθοι αὐτοῖς
ἐς μάχην,
ἀναβῆναί τε πρὸς τὸ χωρίον
καὶ νῦν ὀλιγωρεῖν
ἀτάκτως
τετραμμένους κατὰ θέαν.
Ὅστις δὲ ἰδὼν κάλλιστα
τὰς ἁμαρτίας τοιαύτας
τῶν ἐναντίων

et ayant attaché les autres
à Cléaridas,
il songeait à attaquer
à-l'-improviste
avant les Athéniens
s'être éloignés,
pensant ne pas pouvoir surprendre
une-seconde-fois eux
pareillement isolés,
si le renfort se trouvait
étant venu à eux.
Or ayant convoqué
tous les soldats
et voulant
et *les* encourager
et *leur* expliquer son projet
il disait des choses telles :
IX. « Hommes péloponnésiens,
qu'il suffise ayant été montré
brièvement
d'une part de quel pays
nous sommes venus,
que *nous sommes venus*
d'un pays toujours libre
à-cause-de son courage,
et que Doriens
vous allez combattre des Ioniens,
auxquels vous avez-coutume
d'être supérieurs ;
d'autre part je *vous* instruirai
de quelle manière je songe
à faire l'attaque,
de peur que le s'exposer
par petite *partie*
et non tous-ensemble
vous paraissant insuffisant[gement.
ne cause à quelqu'un du découra-
Car je conjecture
nos adversaires
et par mépris de nous
et n'ayant pu imaginer [eux
que quelqu'un marcherait-contre
pour le combat,
et être montés vers la place
et maintenant être-sans-souci
en désordre
tournés vers l'observation.
Or quiconque ayant vu très bien
les fautes telles
de ses adversaires

ἰδὼν καὶ ἅμα πρὸς τὴν ἑαυτοῦ δύναμιν τὴν ἐπιχείρησιν ποιεῖται μὴ ἀπὸ τοῦ προφανοῦς μᾶλλον καὶ ἀντιπαραταχθέντος ἢ ἐκ τοῦ πρὸς τὸ παρὸν ξυμφέροντος, πλεῖστ' ἂν ὀρθοῖτο· καὶ τὰ κλέμματα ταῦτα καλλίστην δόξαν ἔχει ἃ τὸν πολέμιον μάλιστ' ἄν τις ἀπατήσας τοὺς φίλους μέγιστ' ἂν ὠφελήσειεν. Ἕως οὖν ἔτι ἀπαράσκευοι θαρσοῦσι καὶ τοῦ ὑπαπιέναι πλέον ἢ τοῦ μένοντος[1], ἐξ ὧν ἐμοὶ φαίνονται, τὴν διάνοιαν ἔχουσιν, ἐν τῷ ἀνειμένῳ αὐτῶν τῆς γνώμης καὶ πρὶν ξυνταθῆναι μᾶλλον τὴν δόξαν, ἐγὼ μὲν ἔχων τοὺς μετ' ἐμαυτοῦ[2] καὶ φθάσας, ἢν δύνωμαι, προσπεσοῦμαι δρόμῳ κατὰ μέσον τὸ στράτευμα· σὺ δὲ, Κλεαρίδα, ὕστερον, ὅταν ἐμὲ ὁρᾷς ἤδη προσκείμενον καὶ κατὰ τὸ εἰκὸς φοβοῦντα αὐτοὺς, τοὺς μετὰ σεαυτοῦ[3] τούς τ' Ἀμφιπολίτας καὶ τοὺς ἄλλους ξυμμάχους ἄγων αἰφνιδίως τὰς πύλας ἀνοίξας ἐπεκθεῖν, καὶ ἐπείγεσθαι[4] ὡς τάχιστα ξυμμίξαι. Ἐλπὶς γὰρ μάλιστ' ἂν αὐτοὺς οὕτω φοβηθῆναι· τὸ γὰρ ἐπιὸν ὕστερον δεινότερον τοῖς πολεμίοις

non pas ouvertement ni en bataille rangée, mais en tirant parti des circonstances, on est presque assuré du succès. Ruses glorieuses, par lesquelles, en trompant ses adversaires, on rend les plus grands services à ses amis. Ainsi, pendant qu'ils sont encore plongés dans une confiance aveugle et qu'ils songent plutôt à se retirer qu'à s'établir, je veux profiter de leur inadvertance, et, sans leur laisser le temps de la réflexion, les gagner, s'il se peut, de vitesse en me jetant avec les miens sur le centre de leur armée. Pour toi, Cléaridas, quand tu me verras, aux prises avec eux, les frapper probablement d'épouvante, prends avec toi tes soldats, ceux d'Amphipolis et les autres alliés ; fais brusquement ouvrir les portes, sors à la course, et viens au plus tôt me rejoindre. Ton aspect ne peut manquer de les effrayer ; car un nouvel ennemi est bien plus formi-

καὶ ἅμα ποιεῖται
τὴν ἐπιχείρησιν
πρὸς τὴν δύναμιν ἑαυτοῦ
μὴ ἀπὸ τοῦ προφανοῦς
καὶ ἀντιπαραχθέντος
μᾶλλον ἢ
ἐκ τοῦ ξυμφέροντος
πρὸς τὸ παρὸν,
ὀρθοῖτο ἂν πλεῖστα·
καὶ ταῦτα τὰ κλέμματα
ἔχει καλλίστην δόξαν
ἅ τις
ἀπατήσας ἂν μάλιστα
τὸν πολέμιον
ὠφελήσειεν ἂν μέγιστα
τοὺς φίλους.
Ἕως οὖν θαρσοῦσιν
ἔτι ἀπαράσκευοι
καὶ ἔχουσι τὴν διανοίαν
τοῦ ὑπανιέναι
πλέον ἢ
τοῦ μένοντος,
ἐξ ὧν φαίνονται ἐμοὶ,
ἐν τῷ ἀνειμένῳ
τῆς γνώμης αὐτῶν
καὶ πρὶν τὴν δόξαν
ξυνταθῆναι μᾶλλον,
ἐγὼ μὲν ἔχων
τοὺς μετὰ ἐμαυτοῦ,
καὶ φθάσας,
ἢν δύνωμαι,
προσπεσοῦμαι δρόμῳ
κατὰ τὸ μέσον στράτευμα·
σὺ δὲ, Κλεαρίδα, ὕστερον
ὅταν ὁρᾷς με
ἤδη προσκείμενον
καὶ κατὰ τὸ εἰκὸς
φοβοῦντα αὐτοὺς,
ἄγων τοὺς μετὰ σεαυτοῦ
τούς τε Ἀμφιπολίτας
καὶ τοὺς ἄλλους ξυμμάχους
ἀνοίξας αἰφνιδίως
τὰς πύλας,
ἐπεκθεῖν
καὶ ἐπείγεσθαι
ξυμμῖξαι ὡς τάχιστα.
Ἐλπὶς γὰρ
αὐτοὺς φοβηθῆναι ἂν
μάλιστα οὕτω·
τὸ γὰρ ἐπιὸν ὕστερον

en-même-temps aussi fait
l'attaque
selon le pouvoir de lui-même
non par la *force* ouverte
et rangée-en-bataille
plutôt que
d'après l'utile
par-rapport au présent,
réussirait le plus;
et ces fourberies
ont une très belle gloire
par lesquelles quelqu'un
ayant pu tromper le plus
l'ennemi
servirait très grandement
ses amis.
Tandis donc qu'ils sont-confiants
encore non-préparés
et *qu'*ils ont l'idée
du se retirer
plus que
du restant (du rester),
d'après *ce* qu'ils paraissent à moi,
dans le relâchement
de l'esprit d'eux
et avant *leur* pensée
s'être tendue davantage,
moi d'une part ayant
ceux *qui sont* avec moi-même
et ayant gagné-de-vitesse,
si je peux,
je tomberai par la course
sur le milieu de l'armée;
toi d'autre part, Cléaridas, ensuite,
lorsque tu verras moi
déjà m'attachant à *eux*
et selon la vraisemblance
effrayant eux,
menant ceux avec toi-même
et les Amphipolitains
et les autres alliés
ayant ouvert à-l'improviste
les portes,
sortir-(sors)-en-courant,
et te hâter (et hâte-toi) [possible.
de te-mêler *au combat* le plus vite
Car conjecture *est*
eux pouvoir être effrayés
le plus ainsi :
car ce qui attaque en second-lieu

τοῦ παρόντος καὶ μαχομένου. Καὶ αὐτός τε ἀνὴρ ἀγαθὸς γίγνου, ὥσπερ σε εἰκὸς ὄντα Σπαρτιάτην, καὶ ὑμεῖς, ὦ ἄνδρες ξύμμαχοι, ἀκολουθήσατε ἀνδρείως, καὶ νομίσατε τρία εἶναι τοῦ καλῶς πολεμεῖν, τὸ ἐθέλειν καὶ αἰσχύνεσθαι καὶ τοῖς ἄρχουσι πείθεσθαι, καὶ τῇδε ὑμῖν τῇ ἡμέρᾳ ἢ ἀγαθοῖς γενομένοις ἐλευθερίαν τε ὑπάρχειν καὶ Λακεδαιμονίων ξυμμάχοις κεκλῆσθαι, ἢ Ἀθηναίων τε δούλοις, ἢν τὰ ἄριστα ἄνευ ἀνδραποδισμοῦ ἢ θανατώσεως πράξητε, καὶ δουλείαν χαλεπωτέραν ἢ πρὶν εἴχετε, τοῖς δὲ λοιποῖς Ἕλλησι κωλυταῖς γενέσθαι ἐλευθερώσεως. Ἀλλὰ μήτε ὑμεῖς μαλακισθῆτε, ὁρῶντες περὶ ὅσων ὁ ἀγὼν ἐστιν, ἐγώ τε δείξω οὐ παραινέσαι οἷός τε ὢν μᾶλλον τοῖς πέλας ἢ καὶ αὐτὸς ἔργῳ ἐπεξελθεῖν. »

X. Ὁ μὲν Βρασίδας τοσαῦτα εἰπὼν τήν τε ἔξοδον παρεσκευάζετο αὐτὸς, καὶ τοὺς ἄλλους μετὰ τοῦ Κλεαρίδα καθίστη ἐπὶ τὰς Θρᾳκίας καλουμένας τῶν πυλῶν, ὅπως

dable que celui qui est en présence et déjà engagé. Montre-toi courageux en vrai Spartiate. Et vous, alliés, suivez-le résolûment. Songez que pour la victoire trois choses sont nécessaires : la volonté, l'honneur, la subordination. Si en ce jour vous faites preuve de bravoure, vous pouvez compter sur la liberté et l'alliance de Lacédémone ; sinon, esclaves d'Athènes, — à supposer que vous ne soyez pas vendus ou mis à mort, — vous sentirez le joug s'appesantir sur vos têtes, et vous aurez entravé la délivrance du reste des Grecs. Mais non, vous ne faiblirez pas ; vous penserez au prix de la lutte ; et moi je ferai voir que, si je sais exciter les autres, je ne suis pas moins capable d'agir. »

X. Après ces paroles, Brasidas prépara sa sortie et plaça le surplus de ses troupes, sous Cléaridas, aux portes dites de Thrace, avec ordre de marcher quand il en serait temps. Cependant on

δεινότερον τοῖς πολεμίοις
τοῦ παρόντος
καὶ μαχομένου.
Καὶ αὐτός τε γίγνου
ἀνὴρ ἀγαθὸς,
ὥσπερ εἰκὸς
σὲ ὄντα Σπαρτιάτην,
καὶ ὑμεῖς,
ὦ ἄνδρες ξύμμαχοι,
ἀκολουθήσατε ἀνδρείως,
καὶ νομίσατε τρία εἶναι
τοῦ πολεμεῖν καλῶς,
τὸ ἐθέλειν
καὶ τὸ αἰσχύνεσθαι
καὶ πείθεσθαι τοῖς ἄρχουσι,
καὶ τῇδε τῇ ἡμέρᾳ
ἢ ἐλευθερίαν τε
ὑπάρχειν
γενομένοις ἀγαθοῖς
καὶ κεκλῆσθαι
ξυμμάχοις Λακεδαιμονίων,
ἢ δούλοις τε
Ἀθηναίων
ἄνευ ἀνδραποδισμοῦ
ἢ θανατώσεως,
ἣν πράξητε
τὰ ἄριστα,
καὶ δούλειαν
χαλεπωτέραν
ἢ εἴχετε πρίν,
γενέσθαι δὲ κωλυταῖς
ἐλευθερώσεως,
τοῖς λοιποῖς Ἕλλησιν.
Ἀλλὰ ὑμεῖς τε
μὴ μαλακισθῆτε
ὁρῶντες περὶ ὅσων
ὁ ἀγών ἐστιν,
ἐγώ τε δείξω
οὐκ ὢν οἷός τε
παραινέσαι
τοῖς πέλας
μᾶλλον ἢ καὶ αὐτὸς
ἐπεξελθεῖν ἔργῳ. »

X. Ὁ μὲν Βρασίδας
εἰπὼν τοσαῦτα
παρεσκευάζετό τε αὐτὸς
τὴν ἔξοδον,
καὶ καθίστη τοὺς ἄλλους
μετὰ τοῦ Κλεαρίδα
ἐπὶ τὰς τῶν πυλῶν·

est plus terrible pour les ennemis
que ce qui est présent
et qui combat.
Et *toi*-même aussi sois
homme brave,
comme *il est* naturel *être*
toi étant Spartiate,
et vous,
ô hommes alliés,
suivez courageusement,
et songez trois *conditions* être
du faire-la-guerre bien,
le vouloir
et le rougir (et avoir de l'honneur)
et obéir à ceux qui commandent,
et en ce jour-ci
ou-bien et la liberté
être
à *vous* ayant été braves
et (ainsi que) d'être appelés
alliés des Lacédémoniens,
ou-bien *de devenir* esclaves
des Athéniens,
sans vente-à-l'encan
ou mise-à-mort,
si vous faites
les choses les plus heureuses,
et *esclaves* par un esclavage
plus rude
que *celui que* vous aviez avant,
et devenir des obstacles
d'affranchissement
pour les autres Grecs.
Mais et vous
ne mollissez pas [*rêts*
en voyant pour quels-grands *inté*-
la lutte est,
et moi je montrerai [*pable*
n'étant pas (que je ne suis pas) ca-
de conseiller
ceux *qui sont* proches (aux autres)
plutôt que aussi moi-même
d'aborder l'œuvre.»

X. Brasidas d'une part
ayant dit autant de choses
et préparait lui-même
la sortie,
et établissait les autres
avec Cléaridas
auprès de celles des portes

ὥσπερ εἴρητο ἐπεξίοιεν. Τῷ δὲ Κλέωνι, φανεροῦ γενομένου αὐτοῦ ἀπὸ τοῦ Κερδυλίου καταβάντος καὶ ἐν τῇ πόλει (ἐπιφανεῖ οὔσῃ ἔξωθεν) περὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς θυομένου καὶ ταῦτα πράσσοντος, ἀγγέλλεται (προυκεχωρήκει γὰρ τότε κατὰ τὴν θέαν) ὅτι ἥ τε στρατιὰ ἅπασα φανερὰ τῶν πολεμίων ἐν τῇ πόλει, καὶ ὑπὸ τὰς πύλας ἵππων τε πόδες πολλοὶ καὶ ἀνθρώπων ὡς ἐξιόντων ὑποφαίνονται, ὁ δὲ ἀκούσας ἐπῆλθε· καὶ ὡς εἶδεν, οὐ βουλόμενος μάχῃ διαγωνίσασθαι πρὶν οἱ καὶ τοὺς βοηθοὺς ἥκειν, καὶ οἰόμενος φθήσεσθαι ἀπελθών, σημαίνειν τε ἅμα ἐκέλευεν ἀναχώρησιν, καὶ παρήγγελλε τοῖς ἀπιοῦσιν ἐπὶ τὸ εὐώνυμον κέρας, ὥσπερ μόνον οἷόν τ' ἦν, ὑπάγειν ἐπὶ τῆς Ἠιόνος. Ὡς δ' αὐτῷ ἐδόκει σχολῇ γίγνεσθαι, αὐτὸς ἐπιστρέψας[1] τὸ δεξιὸν καὶ τὰ γυμνὰ πρὸς τοὺς πολεμίους δοὺς ἀπῆγε τὴν στρατιάν. Κἀν τούτῳ Βρασίδας ὡς ὁρᾷ τὸν καιρὸν καὶ τὸ στράτευμα τῶν Ἀθηναίων κινούμενον, λέγει τοῖς μεθ' ἑαυτοῦ καὶ τοῖς ἄλλοις ὅτι « Οἱ ἄνδρες ἡμᾶς

avait vu Brasidas descendre des hauteurs de Cerdylion et rentrer dans la ville, qui est toute à découvert. On le voyait distinctement faire un sacrifice devant le temple de Minerve et achever ses dispositions. Cléon était en marche, opérant sa reconnaissance, lorsqu'on lui annonce qu'on discerne dans la ville toute l'armée ennemic, et que par-dessous les portes on voit les pieds des chevaux prêts à sortir. Sur cet avis, il s'approche ; et, après avoir vérifié le fait, ne voulant pas risquer le combat avant l'arrivée de ses auxiliaires, persuadé d'ailleurs qu'il avait le temps d'opérer sa retraite, il commande le départ. La seule manœuvre praticable était de se replier par la gauche sur Eïon. Cléon en donne l'ordre ; mais, trouvant dans ce mouvement trop de lenteur, il fait tourner l'aile droite et emmène l'armée en présentant à l'ennemi le flanc découvert. Alors Brasidas, qui voit l'instant propice et un certain flottement dans l'armée athénienne, dit à ceux qui l'entouraient :

καλουμένας Θρᾳκίας,
ὅπως ἐπεξίοιεν,
ὥσπερ εἴρητο.
Ἀγγέλλεται δὲ τῷ Κλεώνι,
(προυκεχωρήκει γὰρ τότε
κατὰ τὴν θέαν),
αὐτοῦ γενομένου φανεροῦ
καταβάντος ἀπὸ τοῦ Κερδυλίου
καὶ θυομένου ἐν τῇ πόλει
(οὔσῃ ἐπιφανεῖ ἔξωθεν)
περὶ τὸ ἱερὸν
τῆς Ἀθηνᾶς
καὶ πράσσοντος ταῦτα,
ὅτι ἅπασά τε ἡ στρατία
τῶν πολεμίων
φανερὰ ἐν τῇ πόλει,
καὶ πολλοὶ πόδες
ἵππων τε καὶ ἀνθρώπων
ὡς ἐξιόντων
ὑποφαίνονται ὑπὸ τὰς πύλας,
ὁ δὲ ἀκούσας
ἐπῆλθε·
καὶ ὡς εἶδεν,
οὐ βουλόμενος
διαγωνίσασθαι μάχῃ
πρὶν καὶ τοὺς βοηθοὺς
ἥκειν οἱ,
καὶ οἰόμενος φθήσεσθαι
ἀπελθών,
ἐκέλευεν ἅμα
σημαίνειν τε ἀναχώρησιν,
καὶ παρήγγειλε τοῖς ἀπιοῦσιν
ὑπάγειν
ἐπὶ τὸ κέρας εὐώνυμον
ἐπὶ τῆς Ἠιόνος.
Ὡς δὲ ἐδόκει αὐτῷ
γίγνεσθαι σχολῇ,
αὐτὸς ἐπιστρέψας
τὸ δέξιον
καὶ δοὺς τὰ γυμνὰ
πρὸς τοὺς πολεμίους
ἀπῆγε τὴν στρατίαν.
Καὶ ἐν τούτῳ Βρασίδας
ὡς ὁρᾷ τὸν καιρὸν
καὶ τὸ στράτευμα τῶν Ἀθηναίων
κινούμενον,
λέγει τοῖς μετὰ ἑαυτοῦ
καὶ τοῖς ἄλλοις
ὅτι
« Οἱ ἄνδρες

appelées de-Thrace,
afin qu'ils sortissent,
comme il avait été dit.
D'autre part il est annoncé à Cléon,
(car il s'était avancé alors
en observation),
lui (Brasidas) ayant été visible
descendant du Cerdylium
et sacrifiant dans la ville
(étant en-vue du-dehors)
autour du temple
de Minerve
et s'occupant de ces choses,
que et toute l'armée
des ennemis
est visible dans la ville,
et *que* beaucoup de pieds
et de chevaux et d'hommes
comme devant sortir
sont entrevus sous les portes,
et lui ayant entendu *cela*
s'approcha;
et comme il eut vu,
ne voulant pas
lutter par un combat
avant et les renforts
être arrivés à lui,
et pensant devoir-gagner-de-vitesse
en s'éloignant,
ordonnait en-même-temps
et de sonner la retraite
et prescrivait à ceux qui se-retiraient
de se-replier
vers l'aile gauche
du-côté d'Ïon.
Mais, comme il paraissait à lui
cela avoir-lieu lentement,
lui-même ayant fait-tourner
l'*aile* droite
et ayant présenté les *parties* nues (le flanc découvert)
aux ennemis
il emmenait l'armée.
Et sur cela Brasidas
comme il voit l'occasion-propice
et l'armée des Athéniens
remuant (en mouvement),
dit à ceux *étant* avec lui
et aux autres
que
« Ces hommes

οὐ μενοῦσι· δῆλοι δὲ τῶν τε δοράτων τῇ κινήσει καὶ τῶν κεφαλῶν· οἷς γὰρ ἂν τοῦτο γίγνηται, οὐκ εἰώθασι μένειν τοὺς ἐπιόντας. Ἀλλὰ τάς τε πύλας τις ἀνοιγέτω ἐμοὶ ἃς εἴρηται, καὶ ἐπεξίωμεν ὡς τάχιστα θαρσοῦντες. » Καὶ ὁ μὲν κατὰ τὰς ἐπὶ τὸ σταύρωμα πύλας καὶ τὰς πρώτας τοῦ μακροῦ τείχους [1] τότε ὄντος ἐξελθὼν ἔθει δρόμῳ τὴν ὁδὸν ταύτην εὐθεῖαν ἥπερ νῦν κατὰ τὸ καρτερώτατον τοῦ χωρίου ἰόντι τροπαῖον ἕστηκε, καὶ προσβαλὼν τοῖς Ἀθηναίοις, πεφοβημένοις τε ἅμα τῇ σφετέρᾳ ἀταξίᾳ καὶ τὴν τόλμαν αὐτοῦ ἐκπεπληγμένοις, κατὰ μέσον τὸ στράτευμα τρέπει. Καὶ ὁ Κλεαρίδας, ὥσπερ εἴρητο, ἅμα κατὰ τὰς Θρᾳκίας πύλας ἐπεξελθὼν τῷ στρατῷ ἐπεφέρετο. Ξυνέβη τε τῷ ἀδοκήτῳ καὶ ἐξαπίνης ἀμφοτέρωθεν τοὺς Ἀθηναίους θορυβηθῆναι· καὶ τὸ μὲν εὐώνυμον κέρας αὐτῶν, τὸ πρὸς τὴν Ἠιόνα, ὅπερ δὴ καὶ προυκεχωρήκει, εὐθὺς ἀπορραγὲν ἔφυγε. Καὶ ὁ Βρασίδας ὑποχωροῦντος ἤδη αὐτοῦ

« Ces gens ne nous attendront pas; on le voit assez à l'agitation de leurs lances et au mouvement de leurs têtes; d'ordinaire, ceux qui ont cette contenance n'attendent pas l'ennemi. Qu'on m'ouvre les portes que j'ai dites, et marchons à l'instant sans crainte. » Là-dessus il sort par la porte voisine de la palissade et par la première de la longue muraille qui existait alors. Il s'élance à la course, en ligne directe, vers l'endroit le plus escarpé, où se trouve actuellement un trophée. Il se jette sur le centre des Athéniens, effrayés de leur désordre, confondus de son audace et les met en déroute. En même temps Cléaridas, d'après le plan concerté, sort par les portes de Thrace et débouche avec le gros de l'armée. Son attaque brusque et imprévue achève de semer le trouble parmi les Athéniens. Leur aile gauche, déjà bien avancée vers Ïon, se rompt à l'instant. Brasidas la laisse fuir et se rabat sur

οὐ μενοῦσιν ἡμᾶς·
δῆλοι δὲ
τῇ κινήσει
τῶν τε δοράτων
καὶ τῶν κεφαλῶν·
οἷς γὰρ τοῦτο γίγνηται ἂν
οὐκ εἰώθασι μένειν
τοὺς ἐπιόντας.
Ἀλλὰ τίς τε ἀνοιγέτω ἐμοὶ
τὰς πύλας
ἃς εἴρηται,
καὶ ἐπεξίωμεν ὡς τάχιστα
θαρσοῦντες. »
Καὶ ὁ μὲν ἐξελθὼν
κατὰ τὰς πύλας
ἐπὶ τὸ σταύρωμα
καὶ τὰς πρώτας
τοῦ μακροῦ τείχους
ὄντος τότε,
ἔθει δρόμῳ
ταύτην τὴν ὁδὸν εὐθεῖαν
ἥπερ νῦν τροπαῖον ἕστηκεν
ἰόντι
κατὰ τὸ καρτερώτατον
τοῦ χωρίου,
καὶ προσβαλὼν
κατὰ τὸ μέσον στράτευμα
τοῖς Ἀθηναίοις
πεφοβημένοις τε ἅμα
τῇ σφετέρᾳ ἀταξίᾳ
καὶ ἐκπεπληγμένοις
τὴν τόλμαν αὐτοῦ,
τρέπει.
Καὶ ὁ Κλεαρίδας
ἐπεξελθὼν ἅμα
κατὰ τὰς πύλας Θρᾳκίας,
ὥσπερ εἴρητο,
ἐπεφέρετο τῷ στρατῷ.
Ξυνέβη τε
τῷ ἀδοκήτῳ
καὶ ἐξαπίνης ἀμφοτέρωθεν
τοὺς Ἀθηναίους θορυβηθῆναι·
καὶ τὸ μὲν κέρας εὐώνυμον
αὐτῶν,
τὸ πρὸς τὴν Ἠιόνα,
ὅπερ δὴ καὶ προυκεχωρήκει,
ἀπορραγὲν εὐθὺς ἔφυγε.
Καὶ ὁ Βρασίδας,
αὐτοῦ ὑποχωροῦντος ἤδη,
ἐπιπαριὼν τῷ δεξίῳ

n'attendront pas nous;
or *ils sont* évidents *ne pas devoir*
par le mouvement [*attendre*
et des lances
et des têtes;
car *ceux* auxquels cela arrive
n'ont-pas-coutume d'attendre
les assaillants.
Mais et qu'on ouvre à moi
les portes
qu'il a été dit, [possible,
et marchons-contre *eux* le plus vite
ayant-confiance. »
Et lui d'une part étant sorti
par les portes
conduisant vers la palissade
et les premières
du long mur
qui existait alors,
courait par la course
par cette route directe
où maintenant un trophée s'élève
pour qui arrive (quand on arrive)
vers l'*endroit* le plus fort
de la contrée,
et ayant attaqué
vers le milieu de l'armée
les Athéniens
et effrayés en-même-temps
par leur propre désordre
et surpris
de l'audace de lui,
il *les* met-en-déroute.
Et Cléaridas
étant sorti en-même-temps
par les portes de-Thrace,
comme il avait été dit, [mée.
se-portait-contre *eux* avec son ar-
Et il arriva
par cette *attaque* imprévue [côtés
et *faite* soudainement des-deux-
les Athéniens être troublés;
et d'une part l'aile gauche
d'eux
celle *allant* vers Eïon,
qui certes aussi était avancée,
s'étant rompue aussitôt fuit.
Et Brasidas,
elle (cette aile) se-retirant déjà,
marchant-contre la droite

ἐπιπαριὼν τῷ δεξιῷ τιτρώσκεται, καὶ πεσόντα αὐτὸν οἱ μὲν Ἀθηναῖοι οὐκ αἰσθάνονται, οἱ δὲ πλησίον ἄραντες ἀπήνεγκαν. Τὸ δὲ δεξιὸν τῶν Ἀθηναίων ἔμενε μᾶλλον. Καὶ ὁ μὲν Κλέων, ὡς τὸ πρῶτον οὐ διενοεῖτο μένειν[1], εὐθὺς φεύγων καὶ καταληφθεὶς ὑπὸ Μυρκινίου πελταστοῦ ἀποθνήσκει, οἱ δὲ αὐτοῦ ξυστραφέντες ὁπλῖται ἐπὶ τὸν λόφον τόν τε Κλεαρίδαν ἠμύνοντο καὶ δὶς ἢ τρὶς προσβαλόντα, καὶ οὐ πρότερον ἐνέδοσαν πρὶν ἥ τε Μυρκινία καὶ ἡ Χαλκιδικὴ ἵππος καὶ οἱ πελτασταὶ περιστάντες καὶ ἐσακοντίζοντες αὐτοὺς ἔτρεψαν. Οὕτω δὲ τὸ στράτευμα πᾶν ἤδη τῶν Ἀθηναίων, φυγὸν χαλεπῶς καὶ πολλὰς ὁδοὺς τραπόμενοι[2] κατὰ ὄρη, ὅσοι μὴ διεφθάρησαν ἢ αὐτίκα ἐν χερσὶν ἢ ὑπὸ τῆς Χαλκιδικῆς ἵππου καὶ τῶν πελταστῶν, οἱ λοιποὶ ἀπεκομίσθησαν ἐς τὴν Ἠιόνα. Οἱ δὲ τὸν Βρασίδαν ἄραντες ἐκ τῆς μάχης καὶ διασῶσαντες ἐς τὴν πόλιν ἔτι ἔμπνουν ἐσεκόμισαν· καὶ ἥσθετο μὲν ὅτι νικῶσιν οἱ μεθ' αὐτοῦ, οὐ πολὺ δὲ διαλιπὼν

l'aile droite ; mais là il est blessé et tombe sans que les Athéniens s'en aperçoivent. Ceux qui l'entouraient le relèvent et le rapportent dans la ville. L'aile droite des Athéniens tint plus longtemps. Pour Cléon, qui n'avait pas songé un seul instant à rester, il s'enfuit au plus vite ; mais il fut atteint et tué par un peltaste myrcinien. Les hoplites se concentrèrent sur la colline, soutinrent deux ou trois charges de Cléaridas, et ne plièrent que lorsque la cavalerie myrcinienne et chalcidéenne, jointe aux peltastes, les eut enveloppés, criblés de traits, et finalement mis en déroute. C'est ainsi que toute l'armée athénienne se sauva, non sans peine, et se dispersa en tous sens à travers les montagnes. Ceux qui ne périrent pas sur-le-champ dans la mêlée, ou plus tard sous les coups de la cavalerie chalcidéenne et des peltastes, trouvèrent un refuge à Eïon. Cependant ceux qui avaient relevé Brasidas le rapportèrent, encore vivant du champ de bataille à Amphipolis. Il eut le temps d'apprendre sa victoire, avant de rendre le dernier

τιτρώσκεται,
καὶ οἱ μὲν Ἀθηναῖοι
οὐκ αἰσθάνονται
αὐτὸν πεσόντα,
οἱ δὲ πλησίον
ἄραντες ἀπήνεγκαν.
Τὸ δὲ δεξιὸν τῶν Ἀθηναίων
ἔμενε μᾶλλον.
Καὶ ὁ μὲν Κλέων,
ὡς τὸ πρῶτον
οὐ διενοεῖτο μένειν,
φεύγων εὐθὺς
καὶ καταληφθεὶς
ὑπὸ πελταστοῦ Μυρκινίου
ἀποθνήσκει,
οἱ δὲ ὁπλῖται
ξυστραφέντες αὐτοῦ
ἐπὶ τὸν λόφον
ἠμύνοντό τε τὸν Κλεαρίδαν
προσβαλόντα
καὶ δὶς ἢ τρὶς,
καὶ οὐκ ἐνέδοσαν πρότερον
πρὶν ἥ τε ἵππος
Μυρκινία
καὶ ἡ Χαλκιδικὴ
καὶ οἱ πελτασταὶ περιστάντες
καὶ ἐσακοντίζοντες
ἔτρεψαν.
Οὕτω δὲ ἤδη
πᾶν τὸ στράτευμα
τῶν Ἀθηναίων
φυγὸν χαλεπῶς
καὶ τραπόμενοι
πολλὰς ὁδοὺς
κατὰ ὄρη,
ὅσοι μὴ διεφθάρησαν
ἢ αὐτίκα ἐν χερσὶν
ἢ ὑπὸ τῆς ἵππου
Χαλκιδικῆς
καὶ τῶν πελταστῶν,
ἀπεκομίσθησαν οἱ λοιποὶ
ἐς τὴν Ἠιόνα.
Οἱ δὲ ἄραντες
τὸν Βρασίδαν
ἐκ μάχης
καὶ διασώσαντες
ἐσεκόμισαν ἐς τὴν πόλιν
ἔμπνουν ἔτι·
καὶ ἥσθετο μὲν
ὅτι οἱ μετὰ αὐτοῦ

est blessé,
et d'une part les Athéniens
ne s'aperçoivent pas
lui étant (être) tombé,
d'autre part ceux *étant* auprès
*l'*ayant relevé *l'*emportèrent.
D'autre part la droite des Athéniens
tenait davantage.
Et d'une part Cléon,
comme d'abord
il ne songeait pas à tenir,
fuyant aussitôt
et ayant été atteint
par un peltaste myrcinien
meurt;
d'autre part les hoplites
s'étant concentrés là
sur la colline
et repoussaient Cléaridas
les ayant attaqués
et deux-fois ou trois-fois,
et ils ne cédèrent pas auparavant
avant que et la cavalerie
myrcinienne
et la *cavalerie* chalcidienne
et *les* peltastes *les* ayant enveloppés
et les assaillant-de-traits
les eussent mis-en-déroute,
Et ainsi dès-lors
toute l'armée
des Athéniens
ayant fui difficilement
et *eux* s'étant tournée
par beaucoup de routes
vers les montagnes,
tous-ceux-qui ne furent pas détruits
ou aussitôt *en étant* aux mains
ou par la cavalerie
chalcidienne
et les peltastes,
revinrent eux qui-restaient
à Eïon.
D'autre part ceux ayant relevé
Brasidas
du combat (du champ de bataille)
et *l'*ayant sauvé,
le transportèrent dans la ville
respirant encore ;
et il s'aperçut (apprit) d'une part
que ceux *étant* avec lui

ἐτελεύτησε. Καὶ ἡ ἄλλη στρατιὰ, ἀναχωρήσασα μετὰ τοῦ Κλεαρίδου ἐκ τῆς διώξεως, νεκρούς τε ἐσκύλευσε καὶ τροπαῖον ἔστησε.

XI. Μετὰ δὲ ταῦτα τὸν Βρασίδαν οἱ ξύμμαχοι πάντες ξὺν ὅπλοις ἐπισπόμενοι δημοσίᾳ ἔθαψαν ἐν τῇ πόλει[1] πρὸ τῆς νῦν ἀγορᾶς οὔσης· καὶ τὸ λοιπὸν οἱ Ἀμφιπολῖται, περιείρξαντες αὐτοῦ τὸ μνημεῖον, ὡς ἥρωί τε ἐντέμνουσι καὶ τιμὰς δεδώκασιν ἀγῶνας καὶ ἐτησίους θυσίας, καὶ τὴν ἀποικίαν ὡς οἰκιστῇ προσέθεσαν, καταβαλόντες τὰ Ἀγνώνεια οἰκοδομήματα[2] καὶ ἀφανίσαντες εἴ τι μνημόσυνόν που ἔμελλεν αὐτοῦ τῆς οἰκίσεως περιέσεσθαι, νομίσαντες τὸν μὲν Βρασίδαν σωτῆρά τε σφῶν γεγενῆσθαι καὶ ἐν τῷ παρόντι ἅμα τὴν τῶν Λακεδαιμονίων ξυμμαχίαν φόβῳ τῶν Ἀθηναίων θεραπεύοντες, τὸν δὲ Ἄγνωνα κατὰ τὸ πολέμιον τῶν Ἀθηναίων οὐκ ἂν ὁμοίως σφίσι ξυμφόρως οὐδ' ἂν ἡδέως τὰς τιμὰς ἔχειν. Καὶ τοὺς νεκροὺς τοῖς Ἀθηναίοις ἀπέδοσαν. Ἀπέθανον δὲ Ἀθηναίων μὲν περὶ ἑξακοσίους, τῶν δ' ἐναν-

soupir. Le reste de l'armée, revenu de la poursuite avec Cléaridas, dépouilla les morts et dressa un trophée.

XI. Après cela, tous les alliés assistèrent en armes aux funérailles de Brasidas. Il fut enterré aux frais du public dans la ville, à l'entrée de la place actuelle. Les Amphipolitains entourèrent son tombeau d'une balustrade; ils lui offrent des victimes comme à un héros, et ont institué en son honneur des jeux et des sacrifices annuels. Enfin, ils lui ont dédié la colonie comme à son fondateur, après avoir renversé les monuments d'Hagnon, et fait disparaître toutes les traces de son établissement. Ils regardaient Brasidas comme leur sauveur. C'était d'ailleurs, sur le moment, un hommage rendu à Lacédémone, dont ils se ménageaient alors l'alliance et l'appui, tandis qu'ennemis d'Athènes, ils n'avaient plus le même intérêt ni le même plaisir à honorer Hagnon. Ils rendirent leurs morts aux Athéniens. La perte de ces derniers dans cette journée avait été de six cents hommes, celle des enne-

νικῶσιν,
καὶ οὐ διαλιπὼν πολὺ
ἐτελεύτησε.
Καὶ ἡ ἄλλη στρατιὰ,
ἀναχωρήσασα ἐκ τῆς διώξεως
μετὰ τοῦ Κλεαρίδου,
ἐσκύλευσέ τε νεκροὺς
καὶ ἔστησε τροπαῖον.
XI. Μετὰ δὲ ταῦτα
πάντες οἱ ξύμμαχοι
ἐπισπόμενοι ξὺν ὅπλοις
ἔθαψαν τὸν Βρασίδαν
δημοσίᾳ ἐν τῇ πόλει
πρὸ τῆς ἀγορᾶς
οὔσης νῦν·
καὶ τὸ λοιπὸν
οἱ Ἀμφιπολῖται
περιείρξαντες
τὸ μνημεῖον αὐτοῦ,
ἐντέμνουσί τε ὡς ἥρωι
καὶ δεδώκασι τιμὰς
ἀγῶνας καὶ θυσίας ἐτησίους,
καὶ προσέθεσαν τὴν ἀποικίαν
ὡς οἰκιστῇ,
καταβαλόντες
τὰ οἰκοδομήματα Ἀγνώνεια
καὶ ἀφανίσαντες
εἴ τι μνημόσυνον
τῆς οἰκίσεως αὐτοῦ
ἔμελλεν περιγενήσεσθαί που,
νομίσαντές τε
τὸν μὲν Βρασίδαν
γεγενῆσθαι σωτῆρα σφῶν
καὶ ἅμα θεραπεύοντες
ἐν τῷ παρόντι
τὴν ξυμμαχίαν
τῶν Λακεδαιμονίων
φόβῳ τῶν Ἀθηναίων,
τὸν δὲ Ἄγνωνα
κατὰ τὸ πολέμιον
τῶν Ἀθηναίων
οὐκ ἔχειν ἂν τὰς τιμὰς
ὁμοίως ξυμφόρως σφίσιν
οὐδὲ ἂν ἡδέως.
Καὶ ἀπέδοσαν τοὺς νεκροὺς
τοῖς Ἀθηναίοις.
Ἀπέθανον δὲ
Ἀθηναίων μὲν
περὶ ἑξακοσίους,
τῶν δὲ ἐναντίων ἑπτὰ,

sont-vainqueurs, [beaucoup
et n'ayant pas laissé-d'-intervalle
il mourut.
Et l'autre (le reste de l') armée,
étant revenue de la poursuite
avec Cléaridas,
et dépouilla les morts
et éleva un trophée.
XI. Or après cela
tous les alliés
suivant en armes
enterrèrent Brasidas
aux-frais-de-l'État dans la ville
devant la place-publique
existant maintenant;
et pour le reste (désormais)
les Amphipolitains
ayant entouré-d'-une-clôture
le tombeau de lui,
et *lui* sacrifient comme à un héros
et *lui* ont accordé *comme* hommages
des jeux et des sacrifices annuels,
et lui ont dédié la colonie
comme à *son* fondateur,
ayant renversé
les monuments d'-Hagnon
et ayant fait-disparaître
si quelque monument
de la colonisation de lui
devait rester quelque-part,
et ayant pensé
Brasidas d'une part
avoir été sauveur d'eux-mêmes
et en-même-temps cultivant
dans le présent
l'alliance
des Lacédémoniens
par crainte des Athéniens,
d'autre part Hagnon
à-cause-de l'hostilité
des Athéniens [honneurs
ne devoir pas avoir (recevoir) ses
aussi utilement pour eux-mêmes
ni *aussi* agréablement *pour eux*.
Et ils rendirent les morts
aux Athéniens.
Or moururent (il mourut)
des Athéniens d'une part
environ six-cents, [sept,
de leurs adversaires d'autre part

τίων ἑπτὰ, διὰ τὸ μὴ ἐκ παρατάξεως, ἀπὸ δὲ τοιαύτης ξυντυχίας καὶ προεκφοβήσεως τὴν μάχην μᾶλλον γενέσθαι· μετὰ δὲ τὴν ἀναίρεσιν οἱ μὲν ἐπ' οἴκου ἀπέπλευσαν, οἱ δὲ μετὰ τοῦ Κλεαρίδου τὰ περὶ τὴν Ἀμφίπολιν καθίσταντο.

XIV. DÉLIBÉRATION SUR LA GUERRE DE SICILE.

(Liv. VI, §§ 8-10.)

VIII. Τοῦ δ' ἐπιγιγνομένου θέρους [1], ἅμα ἦρι, οἱ τῶν Ἀθηναίων πρέσβεις [2] ἦκον ἐκ τῆς Σικελίας, καὶ οἱ Ἐγεσταῖοι [3] μετ' αὐτῶν, ἄγοντες ἑξήκοντα τάλαντα ἀσήμου ἀργυρίου ὡς ἐς ἑξήκοντα ναῦς μηνὸς μισθὸν, ἃς ἔμελλον δεήσεσθαι πέμπειν. Καὶ οἱ Ἀθηναῖοι ἐκκλησίαν ποιήσαντες καὶ ἀκούσαντες τῶν τε Ἐγεσταίων καὶ τῶν σφετέρων πρέσβεων τά τε ἄλλα ἐπαγωγὰ καὶ οὐκ ἀληθῆ, καὶ περὶ τῶν χρημάτων ὡς εἴη ἑτοῖμα ἔν τε τοῖς ἱεροῖς πολλὰ καὶ ἐν τῷ κοινῷ, ἐψηφίσαντο ναῦς ἑξήκοντα πέμπειν ἐς Σικελίαν καὶ στρατηγοὺς αὐτοκράτορας Ἀλκιβιάδην τε τὸν Κλεινίου καὶ Νικίαν τὸν Νικηράτου καὶ Λάμαχον τὸν Ξενοφάνους, βοη-

mis seulement de sept ; en effet, ce ne fut point un combat régulier, mais une simple rencontre précédée d'une panique. Après l'enlèvement des morts, les Athéniens mirent à la voile pour Athènes. Cléaridas réorganisa l'administration d'Amphipolis.

XIV

XXIX. Ce fut donc par mesure d'économie et à cause de la gêne du moment, que les Athéniens renvoyèrent les Thraces arrivés après le départ de Démosthène. On chargea Diitréphès de les emmener; et, comme il devait traverser l'Euripe, il eut ordre de les employer à faire, pendant ce trajet, tout le mal possible à l'ennemi. Diitréphès les fit descendre sur le territoire de Tanagra et enleva rapidement quelque butin ; puis il partit de Chalcis en Eubée, traversa l'Euripe sur le soir, débarqua les Thraces en Béotie, et les conduisit à Mycalesse. Il passa la nuit près du temple de Mercure, à seize stades de cette ville, sans que son approche eût été signalée ; au point du jour il se précipita dans la place, qui est peu étendue, et s'en empara. Les habitants n'étaient pas sur leurs gardes, et ne s'attendaient guère à être attaqués du côté de la mer, qui est si éloignée ; la muraille était

XVIII. SAC DE MYCALESSE.

XXIX. Ἀπέπεμπον οὖν
εὐθὺς
τοὺς Θρᾷκας
τοὺς ὑστερήσαντας
τῷ Δημοσθένει
οὐ βουλόμενοι δαπανᾶν
διὰ τὴν ἀπορίαν παροῦσαν
τῶν χρημάτων,
προστάξαντες Διιτρέφει
κομίσαι αὐτούς,
καὶ εἰπόντες ἅμα
καὶ βλάψαι ἀπ' αὐτῶν
ἐν τῷ παράπλῳ
(ἐπορεύοντο γὰρ
διὰ Εὐρίπου)
τοὺς πολεμίους,
ἤν δύνηταί τι.
Ὁ δὲ
ἀπεβίβασέ τε αὐτοὺς
ἐς τὴν Ταναγραίαν,
καὶ ἐποίησατό
τινα ἁρπαγὴν
διὰ τάχους,
καὶ ἐκ Χαλκίδος τῆς Εὐβοίας
διέπλευσεν ἀπὸ ἑσπέρας
τὸν Εὔριπον,
καὶ ἀποβιβάσας ἐς τὴν Βοιωτίαν
ἦγεν αὐτοὺς ἐπὶ Μυκαλησσόν.
Καὶ τὴν μὲν νύκτα
ηὐλίσατο λαθὼν
πρὸς τῷ Ἑρμαίῳ
(ἀπέχει δὲ τῆς Μυκαλησσοῦ
ἑκκαίδεκα σταδίους μάλιστα),
ἅμα δὲ τῇ ἡμέρᾳ
προσέκειτο τῇ πόλει
οὔσῃ οὐ μεγάλῃ,
καὶ αἱρεῖ,
ἐπιπεσὼν
ἀφυλάκτοις τε
καὶ ἀπροσδοκήτοις
μή ποτέ τινας
ἐπαναβάντας τοσοῦτον
ἀπὸ θαλάσσης
ἐπιθέσθαι ἂν σφίσιν,

XXIX. Ils renvoyaient donc
aussitôt
les Thraces
ceux étant arrivés-en-retard
pour Démosthène
ne voulant pas dépenser
à cause du manque présent
d'argent,
ayant commandé à Diitréphès
d'emmener eux,
et ayant dit en-même-temps
de nuire aussi par le-moyen-d'eux
dans la navigation-le-long-des-
(car ils passaient [côtes
par l'Euripe)
aux ennemis,
s'il *le* peut en quelque chose.
Or lui
et débarqua eux
sur le *territoire* tanagréen,
et fit-faire
quelque pillage
en hâte,
et *parti* de Chalcis l'eubéenne
il traversa dès le soir
l'Euripe, [tie
et *les* ayant débarqués dans la Béo-
il menait eux contre Mycalesse.
Et la nuit d'une part
il campa n'ayant pas-été-aperçu
près du *temple* d'-Hermès
(or il est éloigné de Mycalesse
de seize stades environ),
d'autre part avec le jour
il attaquait la ville
n'étant pas grande,
et il *la* prend,
étant tombé sur
des gens et ne-se-gardant-pas
et ne s'-attendant-pas
jamais quelques-uns
s'étant avancés tant
loin de la mer
pouvoir attaquer eux,

ἐπαναβάντας ἐπιθέσθαι, τοῦ τείχους ἀσθενοῦς ὄντος καὶ ἔστιν ᾗ καὶ πεπτωκότος, τοῦ δὲ βραχέος ᾠκοδομημένου, καὶ πυλῶν ἅμα διὰ τὴν ἄδειαν ἀνεῳγμένων. Ἐσπεσόντες δὲ οἱ Θρᾷκες ἐς τὴν Μυκαλησσὸν, τάς τε οἰκίας καὶ τὰ ἱερὰ ἐπόρθουν, καὶ τοὺς ἀνθρώπους ἐφόνευον, φειδόμενοι οὔτε πρεσβυτέρας οὔτε νεωτέρας ἡλικίας, ἀλλὰ πάντας ἐξῆς, ὅτῳ ἐντύχοιεν, καὶ παῖδας καὶ γυναῖκας κτείνοντες, καὶ προσέτι καὶ ὑποζύγια καὶ ὅσα ἄλλα ἔμψυχα ἴδοιεν. Τὸ γὰρ γένος τὸ τῶν Θρᾳκῶν, ὁμοῖα τοῖς μάλιστα τοῦ βαρβαρικοῦ, ἐν ᾧ ἂν θαρσήσῃ, φονικώτατόν ἐστι. Καὶ τότε ἄλλη τε ταραχὴ οὐκ ὀλίγη καὶ ἰδέα πᾶσα καθειστήκει ὀλέθρου, καὶ ἐπιπεσόντες διδασκαλείῳ παίδων, ὅπερ μέγιστον ἦν αὐτόθι καὶ ἄρτι ἔτυχον οἱ παῖδες ἐσεληλυθότες, κατέκοψαν πάντας· καὶ ξυμφορὰ τῇ πόλει πάσῃ οὐδεμιᾶς ἥσσων μᾶλλον ἑτέρας ἀδόκητός τε ἐπέπεσεν αὕτη καὶ δεινή.

faible, écroulée en certains endroits ou d'une hauteur insuffisante, enfin les portes étaient ouvertes comme en temps de paix. Entrée dans Mycalesse, les Thraces saccagèrent les maisons et les temples, firent main basse sur toute la population, n'épargnant n la vieillesse ni l'enfance, et passant au fil de l'épée femmes, enfants, bêtes de somme, en un mot tous les êtres vivants qu'ils rencontraient. Il n'y a pas de peuple barbare plus sanguinaire que les Thraces, tant qu'ils sont dans l'ivresse du succès. La désolation fut immense, et la mort parut sous mille formes. Il y avait à Mycalesse une école très nombreuse, où les enfants venaient d'entrer : les Thraces y firent irruption, et les égorgèrent tous. Jamais désastre plus imprévu ni plus complet ne frappa une ville entière.

τοῦ τείχους ὄντος ἀσθενοῦς
καὶ ἔστιν ᾗ
καὶ πεπτωκότος,
τοῦ δὲ ᾠκοδομημένου
βραχέος,
καὶ πυλῶν ἅμα ἀνεῳγμένων
διὰ τὴν ἄδειαν.
Οἱ δὲ Θρᾷκες ἐπιπεσόντες
ἐπὶ τὴν Μυκαλησσὸν,
ἐπόρθουν τάς τε οἰκίας
καὶ τὰ ἱερὰ
καὶ ἐφόνευον τοὺς ἀνθρώπους,
φειδόμενοι ἡλικίας
οὔτε πρεσβυτέρας
οὔτε νεωτέρας,
ἀλλὰ κτείνοντες
πάντας ἑξῆς,
ὅτῳ ἐντύχοιεν,
καὶ παῖδας καὶ γυναῖκας,
καὶ προσέτι καὶ ὑποζύγια
καὶ ἄλλα ἔμψυχα
ὅσα ἴδοιεν.
Τὸ γὰρ γένος
τὸ τῶν Θρᾳκῶν
ἐστὶ φονικώτατον
ἐν ᾧ θαρσήσῃ ἄν,
ὅμοια
τοῖς μάλιστα
τοῦ βαρβαρικοῦ.
Καὶ τότε
ἄλλη τε ταραχὴ οὐκ ὀλίγη
καὶ πᾶσα ἰδέα ὀλέθρου
καθειστήκει,
καὶ ἐπιπεσόντες
διδασκαλείῳ παιδῶν,
ὅπερ ἦν μέγιστον αὐτόθι
καὶ οἱ παῖδες ἔτυχον
ἐσεληλυθότες ἄρτι,
κατέκοψαν πάντας·
καὶ αὕτη ξυμφορὰ
ἐπέπεσεν πάσῃ τῇ πόλει
ἥσσων οὐδεμίας
μᾶλλόν τε ἀδόκητος
καὶ δεινὴ ἑτέρας.

le mur étant faible
et il est *des parties* où
même étant tombé,
l'autre *partie* ayant été bâtie
courte (peu élevée), [ouvertes
et les portes en-même-temps étant
à-cause-de la sécurité.
Or les Thraces étant tombés
sur Mycalesse,
ravageaient et les maisons
et les temples,
et tuaient les hommes,
*n'*épargnant l'âge
ni plus vieux
ni plus jeune,
mais tuant
tous à-la-file, [trassent,
quel-que-fût-celui-qu'ils rencon-
et enfants et femmes,
et en-outre et bêtes-de-somme
et autres *êtres* animés
tous-ceux-qu'ils voyaient.
Car la race
celle des Thraces
est très-sanguinaire [fiance,
dans *le cas* où elle aura pris-con-
semblablement
à ceux *qui sont* le plus *sanguinaires*
du *monde* barbare.
Et alors
et un autre trouble non petit
et toute forme de destruction
s'était établie,
et *les Thraces* s'étant jetés-sur
une école d'enfants,
qui était la plus grande là
et *dans laquelle* les enfants se trou-
étant entrés récemment, [vèrent
il *les* taillèrent-en-pièces tous
et ce malheur
fondit sur toute la ville
n'étant moindre qu aucun *malheur*
et plus inattendu
et *plus* effrayant qu'un autre.

XIX. BATAILLE DES ÉPIPOLES (413).

(Liv. VII, §§ 42-45.)

XLII. Ἐν τούτῳ[1] δὲ Δημοσθένης καὶ Εὐρυμέδων ἔχοντες τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν παραγίγνονται, ναῦς τε τρεῖς καὶ ἑβδομήκοντα μάλιστα ξὺν ταῖς ξενικαῖς καὶ ὁπλίτας περὶ πεντακισχιλίους ἑαυτῶν τε καὶ τῶν ξυμμάχων, ἀκοντιστάς τε βαρβάρους καὶ Ἕλληνας οὐκ ὀλίγους, καὶ σφενδονήτας, καὶ τοξότας, καὶ τὴν ἄλλην παρασκευὴν ἱκανήν. Καὶ τοῖς μὲν Συρακοσίοις καὶ ξυμμάχοις κατάπληξις ἐν τῷ αὐτίκα οὐκ ὀλίγη ἐγένετο, εἰ πέρας μηδὲν ἔσται σφίσι τοῦ ἀπαλλαγῆναι τοῦ κινδύνου, ὁρῶντες οὔτε διὰ τὴν Δεκέλειαν τειχιζομένην οὐδὲν ἧσσον στρατὸν ἴσον καὶ παραπλήσιον τῷ προτέρῳ ἐπεληλυθότα, τήν τε τῶν Ἀθηναίων δύναμιν πανταχόσε πολλὴν φαινομένην· τῷ δὲ προτέρῳ στρατεύματι τῶν Ἀθηναίων ὡς ἐκ κακῶν ῥώμη τις ἐγεγένητο. Ὁ δὲ Δημοσθένης ἰδὼν ὡς εἶχε τὰ πράγματα, καὶ νομίσας οὐχ οἷόν τε εἶναι διατρίβειν οὐδὲ παθεῖν ὅπερ ὁ Νικίας ἔπαθεν

XIX

XLII. Peu de temps après arrivèrent Démosthène et Eurymédon, à la tête des renforts envoyés d'Athènes. Ils amenaient soixante-treize vaisseaux, y compris les bâtiments étrangers, environ cinq mille hoplites athéniens et alliés, un grand nombre de gens de trait, grecs et barbares, en un mot un armement complet. Les Syracusains et leurs alliés eurent un moment de stupeur; ils se demandaient si le péril n'aurait aucun terme, puisque l'occupation de Décélie n'empêchait pas les Athéniens d'expédier une armée égale à la première et de faire cet immense déploiement de forces. L'ancienne armée athénienne, au contraire, reprit courage après les maux qu'elle avait soufferts. Démosthène, voyant l'état des choses, estima qu'il ne fallait pas perdre de

XIX. BATAILLE DES ÉPIPOLES (413).

LII. Ἐν δὲ τούτῳ
Δημοσθένης καὶ Εὐρυμέδων
παραγίγνονται
ἔχοντες τὴν βοήθειαν
ἀπὸ τῶν Ἀθηναίων,
ναῦς τε μάλιστα
τρεῖς καὶ ἑβδομήκοντα
ξὺν ταῖς ξενικαῖς
καὶ ὁπλίτας
ἑαυτῶν τε
καὶ τῶν ξυμμάχων
περὶ πεντακισχιλίους,
ἀκοντίστας τε
βαρβάρους καὶ Ἕλληνας
οὐκ ὀλίγους,
καὶ σφενδονήτας καὶ τοξότας,
καὶ τὴν ἄλλην παρασκευὴν
ἱκανήν.
Καὶ μὲν
ἔκπληξις οὐκ ὀλίγη
ἐγένετο τοῖς Συρακοσίοις
καὶ ξυμμάχοις
ἐν τῷ αὐτίκα,
εἰ μηδὲν πέρας
τοῦ ἀπαλλαγῆναι τοῦ κινδύνου
ἔσται σφίσιν,
ὁρῶντες
οὔτε διὰ Δεκέλειαν τειχιζομένην
στρατὸν ἴσον
καὶ παραπλήσιον τῷ προτέρῳ
ἐπεληλυθότα
οὐδὲν ἧσσον,
τήν τε δύναμιν τῶν Ἀθηναίων
φαινομένην πανταχόσε πολλήν·
τὶς δὲ ῥωμὴ
ὡς ἐκ κακῶν
ἐγεγένητο
τῷ προτέρῳ στρατεύματι.
Ὁ δὲ Δημοσθένης ἰδὼν
ὡς τὰ πράγματα εἶχε,
καὶ νομίσας
οὐκ εἶναι οἷόν τε
διατρίβειν
οὐδὲ παθεῖν

XXLII. Or dans ce *temps*
Démosthène et Eurymédon
arrivent
ayant le secours
venu des Athéniens
et des vaisseaux environ
trois et soixante-dix
avec les *vaisseaux* étrangers
et des hoplites
et d'eux-mêmes (des Athéniens)
et des alliés
vers cinq-mille,
et des gens-de-trait
barbares et grecs
non peu-nombreux,
et des frondeurs et des archers,
et les autres apprêts
suffisants.
Et d'une part
une terreur non-petite
fut aux Syracusains
et aux alliés
sur le moment,
se demandant si aucune fin [ger
du (pour) être débarrassé du dan-
ne sera à eux,
voyant
ni à-cause de Décélie fortifiée
une armée égale
et semblable à la première
*n'*étant (n'être) venue-contre *eux*
en rien moins,
et la puissance des Athéniens
se montrant partout considérable ;
d'autre part une certaine force
comme à-la-suite-de *ses* maux
était arrivée
à la première armée.
Or Démosthène ayant vu
comment les affaires étaient,
et ayant pensé
n'être pas possible
d'user (de perdre) *le temps*
ni d'éprouver

(ἀφικόμενος γὰρ τὸ πρῶτον ὁ Νικίας φοβερὸς, ὡς οὐκ εὐθὺς προσέκειτο ταῖς Συρακούσαις, ἀλλ' ἐν Κατάνῃ διεχείμαζεν, ὑπερώφθη τε καὶ ἔφθασεν αὐτὸν ἐκ τῆς Πελοποννήσου στρατιᾷ ὁ Γύλιππος ἀφικόμενος, ἣν οὐδ' ἂν μετέπεμψαν οἱ Συρακόσιοι, εἰ ἐκεῖνος εὐθὺς ἐπέκειτο· ἱκανοὶ γὰρ αὐτοὶ οἰόμενοι εἶναι ἅμα τ' ἂν ἔμαθον ἥσσους ὄντες καὶ ἀποτετειχισμένοι ἂν ἦσαν, ὥστε μηδ' εἰ μετέπεμψαν ἔτι ὁμοίως ἂν αὐτοὺς ὠφελεῖν), ταῦτα οὖν ἀνασκοπῶν ὁ Δημοσθένης καὶ γιγνώσκων ὅτι καὶ αὐτὸς ἐν τῷ παρόντι τῇ πρώτῃ ἡμέρᾳ μάλιστα δεινότατός ἐστι τοῖς ἐναντίοις, ἐβούλετο ὅ τι τάχος[1] ἀποχρήσασθαι τῇ παρούσῃ τοῦ στρατεύματος ἐκπλήξει. Καὶ ὁρῶν τὸ παρατείχισμα τῶν Συρακοσίων, ᾧ ἐκώλυσαν περιτειχίσαι σφᾶς τοὺς Ἀθηναίους, ἁπλοῦν ὄν, καὶ εἰ κρατήσειέ τις τῶν τε Ἐπιπολῶν τῆς ἀναβάσεως καὶ αὖθις τοῦ ἐν αὐταῖς στρατοπέδου, ῥᾳδίως ἂν αὐτὸ ληφθέν (οὐδὲ γὰρ ὑπομεῖναι ἂν σφᾶς οὐδένα), ἠπείγετο ἐπιθέσθαι τῇ πείρᾳ,

temps ni tomber dans la même faute que Nicias. Celui-ci avait d'abord répandu l'épouvante ; mais, au lieu d'attaquer immédiatement Syracuse, il avait passé l'hiver à Catane ; son irrésolution avait provoqué le dédain de ses adversaires et donné à Gylippe le temps d'arriver avec les secours du Péloponnèse, secours que les Syracusains n'auraient pas même eu l'idée de réclamer, si Nicias les eût assaillis d'emblée dans leur sécurité présomptueuse, ils n'auraient reconnu l'insuffisance de leurs forces qu'en se voyant investis ; alors, eussent-ils demandé du secours, il ne leur eût plus été si utile. Démosthène faisait ces réflexions, et convaincu que jamais il n'inspirerait plus de terreur que dans ce premier jour, il voulut profiter aussitôt du prestige de ses armes. Quand il vit que le mur parallèle opposé à la circonvallation par les Syracusains était simple, et que, pour faire tomber toute résistance, il suffirait d'enlever la montée des Épipoles et le camp placé en ce lieu, il se hâta de tenter une entreprise qu'il regardait

ὅπερ ὁ Νικίας
(ὁ γὰρ Νικίας
ἀφικόμενος τὸ πρῶτον φοβερὸς,
ὡς οὐ προσέκειτο εὐθὺς
ταῖς Συρακουσαῖς,
ἀλλὰ διεχείμαζεν ἐν Κατάνῃ,
ὑπερώφθη τε
καὶ ὁ Γύλιππος ἔφθασεν αὐτὸν
ἀφικόμενος ἐκ τῆς Πελοποννήσου
στρατιᾷ,
ἣν οἱ Συρακόσιοι
οὐδὲ μετέπεμψαν ἄν,
εἰ ἐκεῖνος
ἐπέκειτο εὐθύς·
αὐτοὶ γὰρ οἰόμενοι
εἶναι ἱκανοὶ
ἔμαθόν τε ἅμα
ὄντες ἧσσους
καὶ ἦσαν ἂν ἀποτετειχισμένοι,
ὥστε μηδὲ εἰ
μετέπεμψαν
ὠφελεῖν ἂν αὐτοὺς
ὁμοίως ἔτι),
Δημοσθένης οὖν
ἀνασκοπῶν ταῦτα,
καὶ γιγνώσκων ὅτι
καὶ αὐτὸς ἐν τῷ παρόντι
ἔστι δεινότατος τοῖς ἐναντίοις
τῇ πρώτῃ ἡμέρᾳ μάλιστα,
ἐβούλετο ἀποχρήσασθαι
ὅτι τάχος
τῇ ἐκπλήξει παρούσῃ
τοῦ στρατεύματος.
Καὶ ὁρῶν τὸ παρατείχισμα
τῶν Συρακοσίων,
ᾧ ἐκώλυσαν
τοὺς Ἀθηναίους
περιτειχίσαι σφᾶς,
ὂν ἅπλουν,
καὶ εἴ τις ἐπικρατήσειε
τῆς τε ἀναβάσεως τῶν Ἐπιπολῶν
καὶ αὖθις
τοῦ στρατοπέδου ἐν αὐταῖς,
αὐτὸ ληφθὲν ἂν
ῥᾳδίως
(οὐδὲ γὰρ οὐδένα
ὑπομεῖναι ἂν σφᾶς),
ἠπείγετο
ἐπιθέσθαι τῇ πείρᾳ,
καὶ ἡγεῖτο

ce que Nicias avait éprouvé
(car Nicias
étant arrivé d'abord terrible,
comme il n'attaquait pas aussitôt
Syracuse,
mais hivernait à Catane,
et fut dédaigné
et Gylippe prévint lui
étant arrivé du Péloponnèse
avec une armée,
que les Syracusains
n'auraient pas-même mandée,
si lui (Nicias)
avait pressé *eux* sur-le-champ ;
car eux pensant
être suffisants *pour résister*
et auraient appris en-même-temps
étant (qu'ils étaient) moins-forts
et auraient été investis,
de-sorte-que pas-même si
ils avaient mandé *des troupes*
cela ne devait aider eux
semblablement encore),
Démosthène donc
considérant ces choses,
et reconnaissant que
lui aussi dans le présent [res
est très-redoutable à ses adversai-
le premier jour surtout,
voulait profiter [hâte)
autant qu'*il est de* hâte (en toute
de la terreur présente
de (que causait) l'armée.
Et voyant le mur-opposé
des Syracusains,
par lequel ils avaient empêché
les Athéniens
d'investir eux-mêmes,
étant (être) simple,
et si quelqu'un s'emparait
et de la montée des Epipoles
et ensuite
du camp dans elles (qui y était)
lui pouvant (pouvoir) être pris
facilement,
(car pas-même aucun
ne pouvoir résister à eux),
il se hâtait
de se mettre à l'entreprise,
et il pensait *cela être*

καὶ οἱ ξυντομωτάτην ταύτην ἡγεῖτο διαπολέμησιν. Ἢ γὰρ κατορθώσας ἕξειν Συρακούσας ἢ ἀπάξειν τὴν στρατιὰν καὶ οὐ τρίψεσθαι ἄλλως Ἀθηναίους τε τοὺς ξυστρατευομένους καὶ τὴν ξύμπασαν πόλιν.

XLIII. Πρῶτον μὲν οὖν τήν τε γῆν ἐξελθόντες τῶν Συρακοσίων ἔτεμον οἱ Ἀθηναῖοι περὶ τὸν Ἄναπον [1], καὶ τῷ στρατεύματι ἐπεκράτουν ὥσπερ τὸ πρῶτον, τῷ τε πεζῷ καὶ ταῖς ναυσίν (οὐδὲ γὰρ καθ' ἕτερα οἱ Συρακόσιοι ἀντεπεξῇσαν ὅτι μὴ τοῖς ἱππεῦσι καὶ ἀκοντισταῖς ἀπὸ τοῦ Ὀλυμπιείου)· ἔπειτα μηχαναῖς ἔδοξε τῷ Δημοσθένει πρότερον ἀποπειρᾶσαι τοῦ παρατειχίσματος. Ὡς δὲ αὐτῷ προσαγαγόντι κατεκαύθησάν τε ὑπὸ τῶν ἐναντίων ἀπὸ τοῦ τείχους ἀμυνομένων αἱ μηχαναὶ καὶ τῇ ἄλλῃ στρατιᾷ πολλαχῇ προσβάλλοντες ἀπεκρούοντο, οὐκέτι ἐδόκει διατρίβειν, ἀλλὰ πείσας τόν τε Νικίαν καὶ τοὺς ἄλλους ξυνάρχοντας, ὡς ἐπενόει, τὴν ἐπιχείρησιν τῶν Ἐπιπολῶν ἐποιεῖτο. Καὶ ἡμέρας μὲν ἀδύνατα ἐδόκει εἶναι λαθεῖν προσελθόντας τε καὶ ἀναβάντας, παραγγείλας δὲ πέντ' ἡμερῶν σιτία, καὶ τοὺς λιθολόγους

comme décisive. En cas de succès, il était maître de Syracuse ; autrement il lèverait le siége, sans laisser les Athéniens, les compagnons d'armes, et la ville entière s'épuiser en efforts superflus.

XLIII. En conséquence, les Athéniens sortirent d'abord, et dévastèrent le territoire voisin de l'Anapos. Leur armée reprit son ancien ascendant sur terre et sur mer. Les Syracusains ne lui opposèrent d'autres forces que les cavaliers et les gens de trait postés à l'Olympiéion. Ensuite Démosthène jugea à propos d'attaquer avec des machines le mur parallèle; mais, dès la première approche, elles furent brûlées par les ennemis, qui se défendaient du haut du rempart. Les assauts tentés sur divers points ne réussirent pas davantage. Sentant alors qu'il n'y avait plus de temps à perdre, Démosthène, après avoir fait agréer son plan à Nicias et à ses autres collègues, entreprit l'attaque des Épipoles. De jour, il paraissait impossible d'en approcher et d'y monter sans être aperçu. Il fit prendre pour cinq jours de vivres, rassembla les

διαπολέμησιν ξυντομωτάτην οἱ.
Ἢ γὰρ κατορθώσας
ἔξειν Συρακούσας,
ἢ ἀπάξειν τὴν στρατιὰν
καὶ οὐ τρίψεσθαι ἄλλως
Ἀθηναίους τε
τοὺς ξυστρατευομένους
καὶ τὴν πόλιν ξύμπασαν.

XLIII. Πρῶτον μὲν οὖν
οἱ Ἀθηναῖοι ἐξελθόντες
ἔτεμον τὴν γῆν τῶν Συρακοσίων
περὶ τὸν Ἄναπον,
καὶ ἐπεκράτουν τῷ στρατεύματι
ὥσπερ τὸ πρῶτον,
τῷ τε πεζῷ
καὶ ταῖς ναυσίν
(οἱ γὰρ Συρακόσιοι
οὐδὲ ἀντεπεξῆσαν
κατὰ ἕτερα
ὅτι μὴ τοῖς ἱππεῦσι
καὶ ἀκοντισταῖς
ἀπὸ τοῦ Ὀλυμπίειου)·
ἔπειτα
ἔδοξε Δημοσθένει
ἀποπειρᾶσαι πρότερον
μηχαναῖς
τοῦ παρατειχίσματος.
Ὡς δὲ αἵ τε μηχαναὶ
κατεκαύθησαν αὐτῷ
προσαγαγόντι
ὑπὸ τῶν ἐναντίων
ἀμυνομένων ἀπὸ τοῦ τείχους
καὶ προσβάλλοντες
πολλαχῇ
τῇ ἄλλῃ στρατιᾷ
ἀπεκρούοντο,
ἔδόκει οὐκέτι διατρίβειν,
ἀλλὰ πείσας
τόν τε Νικίαν
καὶ τοὺς ἄλλους ξυναρχόντας,
ἐποιεῖτο τὴν ἐπιχείρησιν
τῶν Ἐπιπολῶν,
ὡς ἐπενόει.
Καὶ μὲν ἐδόκει
εἶναι ἀδύνατα
λαθεῖν ἡμέρας
προσελθόντας τε καὶ ἀναβάντας,
παραγγείλας δὲ
σιτία πέντε ἡμερῶν,
καὶ λαβὼν

fin-de-guerre très prompte pour lui.
Car ou ayant réussi
devoir avoir Syracuse,
ou devoir emmener son armée
et ne pas devoir user inutilement
et les Athéniens
ceux faisant-expédition-avec *lui*
et la ville tout-entière.

XLIII. D'abord d'une part donc
les Athéniens étant sortis [sains
ravageaient la terre des Syracu-
autour de l'Anapos,
et dominaient par leur armée
comme la première *fois*,
et par leur infanterie
et par leurs vaisseaux
(car les Syracusains
ne sortaient pas-même contre *eux*
de l'une-des-deux *manières*
sinon avec les cavaliers
et les gens-de-trait
de l'Olympiéion);
ensuite
il parut-bon à Démosthène
d'éprouver d'abord
avec des machines
le mur-opposé.
D'autre part comme et les machines
eurent été brûlées pour lui
les ayant avancées
par les ennemis
se défendant du *haut* du mur
et que *les Athéniens* attaquant
en-plusieurs-endroits
avec le reste de l'armée
étaient repoussés, [*le temps*,
il paraissait-bon de ne-plus user
mais ayant persuadé
et Nicias
et les autres commandant-avec *lui*,
il faisait l'attaque
des Epipoles,
comme il projetait.
Et d'une part il paraissait
être impossible
de n'être-pas-vu de jour
et s'avançant et montant,
d'autre part ayant ordonné
de prendre des vivres de cinq jours,
et ayant pris

καὶ τέντονας πάντας λαβὼν καὶ ἄλλην παρασκευὴν τοξευμάτων τε καὶ ὅσα ἔδει, ἢν κρατῶσι, τειχίζοντας ἔχειν, αὐτὸς μὲν ἀπὸ πρώτου ὕπνου καὶ Εὐρυμέδων καὶ Μένανδρος ἀναλαβὼν [1] τὴν πᾶσαν στρατιὰν ἐχώρει πρὸς τὰς Ἐπιπολὰς, Νικίας δ' ἐν τοῖς τείχεσιν ὑπελείπετο. Καὶ ἐπειδὴ ἐγένοντο πρὸς αὐταῖς κατὰ τὸν Εὐρύηλον, ᾗπερ καὶ ἡ προτέρα στρατιὰ τὸ πρῶτον [2] ἀνέβη, λανθάνουσί τε τοὺς φύλακας τῶν Συρακοσίων καὶ προσβάντες τὸ τείχισμα ὃ ἦν αὐτόθι τῶν Συρακοσίων αἱροῦσι, καὶ ἄνδρας τῶν φυλάκων ἀποκτείνουσιν· οἱ δὲ πλείους διαφυγόντες εὐθὺς πρὸς τὰ στρατόπεδα, ἃ ἦν ἐπὶ τῶν Ἐπιπολῶν τρία ἐν προτειχίσμασιν, ἓν μὲν τῶν Συρακοσίων, ἓν δὲ τῶν ἄλλων Σικελιωτῶν, ἓν δὲ τῶν ξυμμάχων, ἀγγέλλουσι τὴν ἔφοδον καὶ τοῖς ἑξακοσίοις [3] τῶν Συρακοσίων, οἳ καὶ πρῶτοι κατὰ τοῦτο τὸ μέρος τῶν Ἐπιπολῶν φύλακες ἦσαν, ἔφραζον. Οἱ δ' ἐβοήθουν τ' εὐθὺς, καὶ αὐτοῖς ὁ Δημοσθένης καὶ οἱ Ἀθηναῖοι ἐντυχόντες ἀμυνομένους προθύμως ἔτρεψαν. Καὶ αὐτοὶ μὲν εὐθὺς ἐχώρουν ἐς τὸ πρόσθεν, ὅπως

maçons et les charpentiers, se pourvut de traits et de tout le matériel nécessaire pour se retrancher en cas de succès; puis à l'heure du premier sommeil, lui-même, Eurymédon et Ménandre mirent en mouvement toute la troupe et marchèrent aux Épipoles. Nicias resta dans les retranchements. Ils abordèrent les Épipoles par l'Euryale, à l'endroit où l'ancienne armée était montée la première fois. Ils trompèrent la vigilance du poste syracusain placé en ce lieu, et enlevèrent le fort que les assiégés y avaient construit. Ceux des gardes qui ne furent pas tués s'enfuirent aussitôt vers les trois camps établis sur les Épipoles et occupés l'un par les Syracusains, le second par les Grecs de Sicile, le troisième par les alliés. Ils signalèrent la présence de l'ennemi, et donnèrent l'éveil aux six cents Syracusains formant le poste d'observation de ce côté des Épipoles. Ceux-ci se portèrent immédiatement au secours; mais Démosthène et les Athéniens, qui arrivaient les culbutèrent, malgré une résistance des plus vives. Les Athéniens, sans perdre un instant, marchent en avant, afin

πάντας τοὺς λιθολόγους
καὶ τέκτονας
καὶ ἄλλην παρασκευὴν
τοξευμάτων τε
καὶ ὅσα ἔδει ἔχειν
τειχίζοντας,
ἢν κρατῶσι,
αὐτὸς μὲν
ἀπὸ τοῦ πρώτου ὕπνου
καὶ Εὐρυμέδων καὶ Μένανδρος
ἀναλαβὼν πᾶσαν τὴν στρατιὰν
ἐχώρει πρὸς τὰς Ἐπιπολάς,
Νικίας δὲ
ὑπελείπετο ἐν τοῖς τείχεσιν.
Καὶ ἐπειδὴ ἐγένοντο
πρὸς αὐταῖς
κατὰ τὸν Εὐρύηλον,
ἧπερ καὶ ἡ προτέρα στρατιὰ
ἀνέβη τὸ πρῶτον,
λανθάνουσί τε
τοὺς φύλακας τῶν Συρακοσίων,
καὶ προσβάντες αἱροῦσι
τείχισμα τῶν Συρακοσίων,
ὃ ἦν αὐτόθι,
καὶ ἀποκτείνουσιν ἄνδρας
τῶν φυλάκων.
Οἱ δὲ πλείους
διαφυγόντες εὐθὺς
πρὸς τὰ στρατόπεδα,
ἃ ἦν ἐπὶ τῶν Ἐπιπολῶν
τρία
ἐν προτειχίσμασιν,
ἓν μὲν τῶν Συρακοσίων,
ἓν δὲ τῶν ἄλλων Σικελιωτῶν,
ἓν δὲ τῶν ξυμμάχων,
ἀγγέλλουσι τὴν ἔφοδον,
καὶ ἔφραζον τοῖς ἑξακοσίοις
τῶν Συρακοσίων,
οἳ ἦσαν
καὶ πρῶτοι φύλακες
κατὰ τοῦτο τὸ μέρος
τῶν Ἐπιπολῶν.
Οἱ δὲ
ἐβοήθουν τε εὐθύς,
καὶ ὁ Δημοσθένης
καὶ οἱ Ἀθηναῖοι ἐντυχόντες
ἔτρεψαν
ἀμυνομένους προθύμως.
Καὶ αὐτοὶ μὲν
ἐχώρουν εὐθὺς

tous les maçons
et *tous* les charpentiers
et un autre approvisionnement
et de traits,
et *de* tout-ce-qu'il fallait avoir
bâtissant (pour bâtir),
s'ils étaient-vainqueurs,
lui-meme-d'une part
dès le premier sommeil
et (avec) Eurymédon et Ménandre
ayant pris-avec *lui* toute l'armée
marchait contre les Epipoles,
d'autre part Nicias
restait dans les murs.
Et après qu'ils furent
près d'elles
du-côté-de l'Euryale,
par-où aussi la première armée
était montée la première *fois*,
et ils ne sont-pas-aperçus
des gardes des Syracusains,
et s'étant approchés ils prennent
le retranchement des Syracusains
qui était là,
et tuent des hommes
d'entre les gardes.
Mais la plupart
s'étant enfuis aussitôt
vers les camps,
qui étaient sur les Épipoles
au nombre de trois,
dans les ouvrages-avancés,
un d'une part des Syracusains,
un d'autre part des autres Siciliens,
un d'autre part des alliés,
annoncent l'attaque, [six-cents
et ils expliquaient *l'affaire* aux
des Syracusains,
qui étaient
aussi les premiers gardes
dans cette partie
des Epipoles.
Or ceux-ci
et portaient-secours promptement,
et Démosthène [trés
et les Athéniens *les* ayant rencon-
mirent-en-déroute
eux résistant avec-ardeur.
Et eux (les Athéniens) d'une part
marchaient aussitôt

τῇ παρούσῃ ὁρμῇ τοῦ περαίνεσθαι ὧν ἕνεκα ἦλθον μὴ βραδεῖς γένωνται· ἄλλοι δὲ τὸ [ἀπὸ τῆς πρώτης] παρατείχισμα τῶν Συρακοσίων, οὐχ ὑπομενόντων τῶν φυλάκων, ἥρουν τε καὶ τὰς ἐπάλξεις ἀπέσυρον. Οἱ δὲ Συρακόσιοι καὶ οἱ ξύμμαχοι καὶ ὁ Γύλιππος καὶ οἱ μετ' αὐτοῦ ἐβοήθουν ἐκ τῶν προτειχισμάτων, καὶ, ἀδοκήτου τοῦ τολμήματος σφίσιν ἐν νυκτὶ γενομένου, προσέβαλόν τε τοῖς Ἀθηναίοις ἐκπεπληγμένοι, καὶ βιασθέντες ὑπ' αὐτῶν τὸ πρῶτον ὑπεχώρησαν. Προϊόντων δὲ τῶν Ἀθηναίων ἐν ἀταξίᾳ μᾶλλον ἤδη ὡς κεκρατηκότων καὶ βουλομένων διὰ παντὸς τοῦ μήπω μεμαχημένου τῶν ἐναντίων ὡς τάχιστα διελθεῖν ἵνα μὴ ἀνέντων σφῶν τῆς ἐφόδου αὖθις ξυστραφῶσιν, οἱ Βοιωτοὶ πρῶτοι αὐτοῖς ἀντέσχον καὶ προσβαλόντες ἔτρεψάν τε καὶ ἐς φυγὴν κατέστησαν.

XLIV. Καὶ ἐνταῦθα ἤδη ἐν πολλῇ ταραχῇ καὶ ἀπορίᾳ ἐγίγνοντο οἱ Ἀθηναῖοι, ἣν οὐδὲ πυθέσθαι ῥᾴδιον [1] ἦν οὐδ»

de ne pas laisser se ralentir leur ardeur ; d'autres dès le premier choc, occupent le mur parallèle des Syracusains et en arrachent les créneaux. Cependant les Syracusains et leurs alliés, Gylippe en tête, accourent des ouvrages avancés ; mais, déconcertés par cette brusque attaque de nuit, ils n'abordent l'ennemi qu'avec effroi, sont enfoncés et d'abord ramenés en arrière. Déjà les Athéniens, se croyant vainqueurs, s'avançaient toujours plus en désordre ; ils voulaient passer au plus vite sur le corps de ce qui restait d'ennemis à combattre, sans leur laisser le temps de se reconnaître et de se rallier, lorsque les Béotiens, les premiers leur résistent, les chargent victorieusement et les mettent en fuite.

XLIV. Dès ce moment les Athéniens tombèrent dans une étrange confusion. Quant aux détails, aucun des deux partis n'a

ἐς τὸ πρόσθεν,
ὅπως μὴ γένωνται
τῇ ὁρμῇ παρουσῇ
βραδεῖς τοῦ περαίνεσθαι
ὧν ἕνεκα ἦλθον·
ἄλλοι δὲ ἦρουν τε
τὸ παρατείχισμα
τῶν Συρακοσίων
ἀπὸ τῆς πρώτης,
τῶν φυλάκων οὐχ ὑπομενόντων,
καὶ ἀπέσυρον τὰς ἐπάλξεις.
Οἱ δὲ Συρακόσιοι
καὶ οἱ ξύμμαχοι
καὶ ὁ Γύλιππος
καὶ οἱ μετὰ αὐτοῦ
ἐβοήθουν
ἐκ τῶν προτειχισμάτων,
καὶ τοῦ τολμημάτος
γενομένου ἀδοκήτου σφίσιν
ἐν νυκτί,
προσέβαλόν τε ἐκπεπληγμένοι
τοῖς Ἀθηναίοις,
καὶ βιασθέντες ὑπὸ αὐτῶν
ὑπεχωρήσαν τὸ πρῶτον.
Τῶν δὲ Ἀθηναίων
προϊόντων ἤδη
ἐν ἀταξίᾳ μᾶλλον
ὡς κεκρατηκότων,
καὶ βουλομένων διελθεῖν
ὡς τάχιστα
διὰ παντὸς
τοῦ μήπω μεμαχημένου
τῶν ἐναντίων
ἵνα μὴ αὐτῶν ἀνέντων
τῆς ἐφόδου
ξυστραφῶσιν
αὖθις,
οἱ Βοιωτοὶ πρῶτοι
ἀντέσχον αὐτοῖς,
καὶ προσβαλόντες
ἔτρεψάν τε
καὶ κατέστησαν ἐς φυγήν.

XLIV. Καὶ ἐνταῦθα
ἤδη
οἱ Ἀθηναῖοι ἐγίγνοντο
ἐν πολλῇ ταραχῇ καὶ ἀπορίᾳ
ἦν
οὐδὲ ἦν ῥάδιον πυθέσθαι
οὐδὲ ὑπὸ ἑτέρων
ὅτῳ τρόπῳ

dans la *direction* en-avant,
afin qu'ils ne devinssent pas
dans leur ardeur présente
lents à achever *les choses*
pour lesquelles ils étaient venus;
d'autres d'un autre côté et pre-
le mur-opposé [naient
des Syracusains
dès le premier *choc*,
les gardes ne *les* attendant pas,
et arrachaient les créneaux.
D'autre part les Syracusains
et les alliés
et Gylippe
et ceux avec lui
portaient-secours
des ouvrages-avancés,
et cette attaque-audacieuse
ayant eu-lieu inattendue pour eux
dans la nuit,
et ils attaquèrent effrayés
les Athéniens,
et repoussés par eux
ils se-retirèrent la première *fois*.
Mais les Athéniens
s'avançant dès-lors
en désordre davantage
comme ayant vaincu,
et voulant passer
le plus vite qu'*il est possible*
à travers tout
ce qui n'avait pas-encore combattu
des ennemis [chant
de peur qu'eux-mêmes se-relâ-
de l'attaque
ils (les ennemis) ne se concentrent
de-nouveau,
les Béotiens les premiers,
résistèrent à eux,
et *les* ayant attaqués
et ils *les* firent-tourner
et *les* mirent en fuite.

XLIV. Et alors
à partir-de-ce moment
les Athéniens étaient
en grand trouble et embarras
que [prendre
il ne fut pas-même facile d'ap-
pas-même des uns-ou-des autres
de quelle manière

ἀφ' ἑτέρων ὅτῳ τρόπῳ ἕκαστα ξυνηνέχθη. Ἐν μὲν γὰρ ἡμέρᾳ σαφέστερα μὲν, ὅμως δὲ οὐδὲ ταῦτα οἱ παραγενόμενοι πάντα πλὴν τὸ καθ' ἑαυτὸν ἕκαστος μόλις οἶδεν· ἐν δὲ νυκτομαχίᾳ, ἣ[1] μόνη δὴ στρατοπέδων μεγάλων ἓν γε τῷδε τῷ πολέμῳ ἐγένετο, πῶς ἄν τις σαφῶς τι ἤδει; Ἦν μὲν γὰρ σελήνη λαμπρὰ, ἐώρων δὲ οὕτως ἀλλήλους ὡς ἐν σελήνῃ εἰκὸς τὴν μὲν ὄψιν τοῦ σώματος προορᾶν, τὴν δὲ γνῶσιν τοῦ οἰκείου ἀπιστεῖσθαι. Ὁπλῖται δὲ ἀμφοτέρων οὐκ ὀλίγοι ἐν στενοχωρίᾳ ἀνεστρέφοντο. Καὶ τῶν Ἀθηναίων οἱ μὲν ἤδη ἐνικῶντο, οἱ δὲ ἔτι τῇ πρώτῃ ἐφόδῳ ἀήσσητοι ἐχώρουν. Πολὺ δὲ καὶ τοῦ ἄλλου στρατεύματος αὐτοῖς τὸ μὲν ἄρτι ἀνεβεβήκει, τὸ δ' ἔτι προσανήει, ὥστ' οὐκ ἠπίσταντο πρὸς ὅ τι χρὴ χωρῆσαι. Ἤδη γὰρ τὰ πρόσθεν τῆς τροπῆς γεγενημένης ἐτετάρακτο πάντα καὶ χαλεπὰ ἦν ὑπὸ τῆς βοῆς διαγνῶναι. Οἵ τε γὰρ Συρακόσιοι καὶ οἱ ξύμμαχοι κρατοῦντες

pu me les fournir d'une manière précise. De jour, où tout est plus distinct, ceux qui assistent à une bataille savent à peine ce qui se passe autour d'eux : comment donc, pour un combat nocturne tel que fut celui-ci, — le seul que, dans le cours de cette guerre, se soient livré de grandes armées, — obtenir des renseignements certains ? La lune brillait à la vérité, mais on ne se voyait que comme on peut se voir à sa lumière, c'est-à-dire qu'on apercevait bien la forme des corps, mais sans discerner l'ami de l'ennemi. Une foule d'hoplites des deux partis tournoyaient dans un étroit espace. Parmi les Athéniens, les uns étaient déjà vaincus, d'autres poussaient en avant sans rencontrer d'obstacles ; ceux-ci étaient sur la hauteur, ceux-là gravissaient encore. On ne savait où se diriger; car, une fois la défaite commencée, le désordre devint général, et les clameurs empêchaient de se reconnaître. Les Syracusains et leurs alliés, se sentant victorieux,

ἕκαστα ξυνενήχθη.
Ἐν μὲν γὰρ ἡμέρᾳ
σαφέστερα μὲν,
ὅμως δὲ
οὐδὲ οἱ παραγενόμενοι
ταῦτα πάντα,
πλὴν ἕκαστος οἶδεν μόλις
τὸ κατὰ ἑαυτόν·
ἐν δὲ νυκτομαχίᾳ
ἣ ἐγένετο μόνη δὴ
μεγάλων στρατοπέδων
ἔν γε τῷδε τῷ πολέμῳ,
πῶς ἄν τίς τι
σαφῶς;
Σελήνη μὲν γὰρ
ἦν λαμπρὰ,
ἐώρων δὲ οὕτως
ἀλλήλους
ὡς εἰκὸς
ἐν σελήνῃ
προορᾶν μὲν
τὴν ὄψιν τοῦ σώματος,
ἀπιστεῖσθαι δὲ
τὴν γνῶσιν
τοῦ οἰκείου.
Ὁπλῖται δὲ
οὐκ ὀλίγοι
ἀμφοτέρων
ἀνεστρέφοντο ἐν στενοχωρίᾳ.
Καὶ τῶν Ἀθηναίων
οἱ μὲν ἐνικῶντο ἤδη,
οἱ δὲ ἐχώρουν
ἔτι ἀήσσητοι
τῇ πρώτῃ ἐφόδῳ.
Πολὺ δὲ καὶ
τοῦ ἄλλου στρατεύματος
τὸ μὲν ἀνεβεβήκει αὐτοῖς
ἄρτι,
τὸ δὲ προσανήει ἔτι,
ὥστε οὐκ ἠπίσταντο
πρὸς ὅ τι χωρῆσαι.
Ἤδη γὰρ τῆς τροπῆς
γεγενημένης τὰ πρόσθεν
πάντα ἐτετάρακτο
καὶ ἦν χαλεπὰ διαγνῶναι
ὑπὸ τῆς βοῆς.
Οἵ τε γὰρ Συρακόσιοι
καὶ οἱ ξύμμαχοι
κρατοῦντες
παρεκελεύοντό τε

chaque chose arriva.
Car d'une part dans le jour [vérité,
les choses *sont* plus claires à la
mais pourtant [sents
pas-même ceux qui ont été pré-
ne connaissent celles-ci toutes,
mais chacun sait à-peine
celle *qui se passe* devant lui-même;
d'autre part dans un combat-de-
qui fut seul certes [nuit
de (entre de) grandes armées
du moins dans cette guerre-ci,
comment saurait-on quelque chose
clairement?
Car la lune d'une part
était brillante,
d'autre part ils *se* voyaient ainsi
les-uns-les-autres
comme *il est* naturel
dans (à la lumière de) la lune
de voir-devant *soi* d'une part
l'apparence du corps, [point sûr)
d'autre part de se défier (de n'être
de la connaissance de (de recon-
son ami. [naître)
D'autre part des hoplites
non peu-nombreux
des deux *armées*
se tournaient dans un-lieu-étroit.
Et des Athéniens
les uns étaient vaincus déjà,
les autres s'avançaient
encore invaincus
par suite de leur première attaque.
D'ailleurs une *partie* considérable
du reste de l'armée [encore
d'une part était montée pour eux
tout-à-l'heure,
d'autre part montait encore,
de sorte qu'ils ne savaient pas
vers quoi s'avancer.
Car déjà la déroute [d'-avant
ayant eu-lieu dans les *parties*
tout avait été troublé
et il était difficile de *se* reconnaître
par-suite du cri.
Car et les Syracusains
et leurs alliés
étant-vainqueurs
et s'encourageaient

παρεκελεύοντό τε κραυγῇ οὐκ ὀλίγῃ χρώμενοι, ἀδύνατον ὂν ἐν νυκτὶ ἄλλῳ τῳ σημῆναι, καὶ ἅμα τοὺς προσφερομένους ἐδέχοντο· οἵ τε Ἀθηναῖοι ἐζήτουν τε σφᾶς αὐτοὺς, καὶ πᾶν τὸ ἐξ ἐναντίας, καὶ εἰ φίλιον εἴη τῶν ἤδη πάλιν φευγόντων, πολέμιον ἐνόμιζον, καὶ τοῖς ἐρωτήμασι τοῦ ξυνθήματος πυκνοῖς χρώμενοι διὰ τὸ μὴ εἶναι ἄλλῳ τῳ γνωρίσαι, σφίσι τε αὐτοῖς θόρυβον πολὺν παρεῖχον ἅμα πάντες ἐρωτῶντες, καὶ τοῖς πολεμίοις σαφὲς αὐτὸ κατέστησαν· τὸ δ' ἐκείνων οὐχ ὁμοίως ἠπίσταντο, διὰ τὸ κρατοῦντας αὐτοὺς καὶ μὴ διεσπασμένους ἧσσον ἀγνοεῖσθαι, ὥστ' εἰ μὲν ἐντύχοιέν τισι κρείσσους ὄντες τῶν πολεμίων, διέφευγον αὐτοὺς ἅτε ἐκείνων ἐπιστάμενοι τὸ ξύνθημα, εἰ δ' αὐτοὶ μὴ ὑποκρίνοιντο, διεφθείροντο. Μέγιστον δὲ καὶ οὐχ ἥκιστα ἔβλαψεν ὁ παιανισμός[1]· ἀπὸ γὰρ ἀμφοτέρων παραπλήσιος ὢν ἀπορίαν παρεῖχεν. Οἵ τε γὰρ Ἀργεῖοι καὶ οἱ Κερκυραῖοι καὶ ὅσον Δωρικὸν μετ' Ἀθηναίων ἦν ὁπότε παιανίσειαν φόβον παρεῖχε[2] τοῖς Ἀθη-

s'exhortaient à grands cris, seule manière de communiquer entre eux pendant la nuit ; en même temps ils recevaient le choc des assaillants. Les Athéniens se cherchaient les uns les autres, et prenaient pour ennemis tous ceux qu'ils rencontraient, même les leurs en retraite. N'ayant d'autre moyen de ralliement que le mot d'ordre, ils le demandaient tous ensemble et augmentaient ainsi la confusion ; leurs questions réitérées finirent par le révéler à l'ennemi, tandis qu'ils n'apprenaient pas de même celui de leurs adversaires, qui, vainqueurs et non dispersés, se reconnaissaient mieux. Aussi, quand les Syracusains venaient à se heurter contre des forces supérieures, ils échappaient grâce à la connaissance de ce signe ; les Athéniens, au contraire, ne pouvant répondre, étaient massacrés. Rien ne leur fit plus de mal que le chant du Péan, qui, étant à peu près le même des deux côtés, les plongeait dans l'incertitude. Toutes les fois que les Argiens, les Corcyréens et les autres Doriens de l'armée athénienne entonnaient cet hymne, ils causaient aux Athéniens le même effroi que les ennemis ; si

χρώμενοι κραυγῇ
οὐκ ὀλίγῃ,
ὃν ἀδύνατον ἐν νυκτὶ
σημῆναί
τῳ ἄλλῳ,
καὶ ἅμα ἐδέχοντο
τοὺς προσφερομένους·
οἵ τε Ἀθηναῖοι
σφᾶς τε ἐζήτουν αὐτοὺς
καὶ ἐνόμιζον πολέμιον
πᾶν τὸ ἐξ ἐναντίας,
καὶ εἰ εἴη φίλιον
τῶν φυγόντων ἤδη πάλιν,
καὶ χρώμενοι
τοῖς ἐρωτήμασι πυκνοῖς
τοῦ ξυνθήματος
διὰ τὸ μὴ εἶναι
γνωρίσαι
τῳ ἄλλῳ,
παρεῖχόν τε σφίσιν αὐτοῖς
πολὺν θόρυβον,
ἐρωτῶντες πάντες ἅμα,
καὶ κατέστησαν αὐτὸ σαφὲς
τοῖς πολεμίοις.
Οὐ δὲ ἠπίσταντο ὁμοίως
τὸ ἐκείνων
διὰ τὸ
κρατοῦντας καὶ μὴ διεσπαρμένους
ἀγνοεῖσθαι ἧσσον,
ὥστε εἰ μὲν
ὄντες κρείσσους
ἐντύχοιέν τισι
τῶν πολεμίων,
διέφευγον αὐτοὺς
ἅτε ἐπιστάμενοι
τὸ ξύνθημα ἐκείνων,
εἰ δὲ αὐτοὶ
μὴ ἀποκρίνοιντο
διεφθείροντο.
Παιανισμὸς δὲ ἔβλαψεν
μέγιστον καὶ οὐχ ἥκιστα·
ὢν γὰρ παραπλήσιος
ἀπὸ ἀμφοτέρων
παρεῖχεν ἀπορίαν.
Οἵ τε γὰρ Ἀργεῖοι
καὶ οἱ Κερκυραῖοι
καὶ ὅσον Δωρικὸν
ἦν μετὰ Ἀθηναίων,
ὁπότε παιανίσειαν
παρεῖχε φόβον

se servant d'une clameur
non petite,
étant impossible-dans la nuit
de faire-connaître *une chose*
de quelque autre *manière*,
et en-même-temps ils recevaient
ceux qui *les* assaillaient ;
et les Athéniens
et se cherchaient eux-mêmes
et regardaient-comme ennemi
tout ce *qui élait* devant *eux*,
même si *cela* était ami
de ceux fuyant déjà en-arrière,
et se servant
des demandes fréquentes
du mot-d'-ordre
à-cause-du n'être pas *possible*
de *se* reconnaître
par quelque autre *manière*,
et ils causaient à eux-mêmes
un grand trouble,
le demandant tous en-même-temps,
et ils rendirent lui clair (connu)
pour les ennemis. [ment
Mais ils ne savaient pas pareille-
celui d'eux
à cause de ceci [persés
eux étant-vainqueurs et non dis-
se méconnaître moins,
de sorte que si d'une part
les Athéniens étant plus forts
rencontraient quelques-uns
des ennemis,
ceux-ci échappaient à eux
comme connaissant
le mot-d'ordre de ceux-là,
si d'autre part eux-mêmes
ne répondaient pas
ils étaient tués. [nuisit
D'autre part le chant-du-péan *leur*
très fort et non le moins ;
car étant à-peu-près-semblable
des deux *côtés*
il causait de l'embarras.
Car et les Argiens
et les Corcyréens
et tout-ce-qui *étant* dorique
était avec les Athéniens,
lorsqu'ils chantaient-le-péan
causait (causaient) de la crainte

ναίοις, οἱ τε πολέμιοι ὁμοίως. Ὥστε τέλος ξυμπεσόντες αὐτοῖς κατὰ πολλὰ τοῦ στρατοπέδου, ἐπεὶ ἅπαξ ἐταράχθησαν, φίλοι τε φίλοις καὶ πολῖται πολίταις, οὐ μόνον ἐς φόβον καθίστασαν, ἀλλὰ καὶ ἐς χεῖρας ἀλλήλοις ἐλθόντες μόλις ἀπελύοντο. Καὶ διωκόμενοι κατά τε τῶν χρημνῶν πολλοὶ ῥιπτοῦντες ἑαυτοὺς ἀπώλλυντο, στενῆς οὔσης τῆς ἀπὸ τῶν Ἐπιπολῶν πάλιν καταβάσεως, καὶ ἐπειδὴ ἐς τὸ ὁμαλὸν οἱ σῳζόμενοι ἄνωθεν καταβαῖεν, οἱ μὲν πολλοὶ αὐτῶν καὶ ὅσοι ἦσαν τῶν προτέρων στρατιωτῶν ἐμπειρίᾳ μᾶλλον τῆς χώρας ἐς τὸ στρατόπεδον διεφύγγανον, οἱ δὲ ὕστερον ἥκοντες εἰσὶν οἳ διαμαρτόντες τῶν ὁδῶν κατὰ τὴν χώραν ἐπλανήθησαν· οὓς, ἐπειδὴ ἡμέρα ἐγένετο, οἱ ἱππῆς τῶν Συρακοσίων περιελάσαντες διέφθειραν.

XLV. Τῇ δ' ὑστεραίᾳ οἱ μὲν Συρακόσιοι δύο τροπαῖα ἔστησαν, ἐπί τε ταῖς Ἐπιπολαῖς ᾗ ἡ πρόσβασις καὶ κατὰ τὸ χωρίον ᾗ οἱ Βοιωτοὶ πρῶτον ἀντέστησαν, οἱ δ' Ἀθηναῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἐκομίσαντο. Ἀπέθανον δὲ οὐκ

bien qu'en plus d'un endroit où ils se rencontrèrent au milieu du tumulte, amis avec amis, citoyens avec citoyens, ils ne se bornèrent plus à s'effrayer, mais ils se chargèrent mutuellement, et ne se séparèrent qu'à grand' peine. Poursuivis dans leur fuite, plusieurs se jetèrent dans des précipices où ils trouvèrent la mort, car la descente des Épipoles est étroite. De ceux qui parvinrent dans la plaine, la plupart, surtout les soldats de la première expédition, qui connaissaient mieux le pays, se réfugièrent au camp; quelques-uns des nouveaux venus se fourvoyèrent dans la campagne. Dès qu'il fit jour, la cavalerie syracusaine battit l'estrade et les sabra.

XLV. Le lendemain, les Syracusains érigèrent deux trophées : l'un à la montée des Épipoles, l'autre à l'endroit où les Béotiens avaient les premiers résisté. Les Athéniens relevèrent leurs morts par composition. La perte, pour eux et leurs alliés, fut considéra-

τοῖς Ἀθηναίοις,
οἵ τε πολέμιοι
ὁμοίως.
Ὥστε τέλος,
ἐπεὶ ἅπαξ ἐταράχθησαν,
ξυμπεσόντες αὐτοῖς
κατὰ πολλὰ τοῦ στρατοπέδου
φίλοι τε φίλοις
καὶ πολῖται πολίταις,
οὐ μόνον
καθίστασαν ἐς φόβον,
ἀλλὰ καὶ ἐλθόντες ἐς χεῖρας
ἀλλήλοις
ἀπελύοντο μόλις.
Καὶ διωκόμενοι
οἵ τε πολλοὶ ῥιπτοῦντες ἑαυτοὺς
κατὰ τῶν κρημνῶν
ἀπώλλυντο,
τῆς καταβάσεως πάλιν
ἀπὸ τῶν Ἐπιπολῶν
οὔσης στενῆς,
καὶ ἐπειδὴ οἱ σῳζόμενοι
καταβαῖεν ἄνωθεν
ἐς τὸ ὁμαλὸν,
οἱ μὲν πολλοὶ αὐτῶν
καὶ ὅσοι ἦσαν
τῶν προτέρων στρατιωτῶν
διεφύγγανον ἐς τὸ στρατόπεδον
ἐμπειρίᾳ
μᾶλλον
τῆς χώρας,
οἱ δὲ ἥκοντες ὕστερον
εἴσιν οἳ
διαμαρτόντες τῶν ὁδῶν
ἐπλανήθησαν κατὰ τὴν χώραν·
οὓς, ἐπειδὴ ἡμέρα ἐγένετο,
οἱ ἱππῆς τῶν Συρακοσίων
περιελάσαντες διέφθειραν.

XLV. Τῇ δὲ ὑστεραίᾳ
οἱ μὲν Συρακόσιοι
ἔστησαν δύο τροπαῖα,
ἔπί τε ταῖς Ἐπιπολαῖς
ᾗ ἡ προσβάσις
καὶ κατὰ τὸ χωρίον
ᾗ οἱ Βοιωτοὶ
ἀντέστησαν πρῶτον,
οἱ δὲ Ἀθηναῖοι
ἐκομίσαντο τοὺς νεκροὺς
ὑποσπόνδους.
Οὐ δὲ ὀλίγοι αὐτῶν τε

aux Athéniens,
et les ennemis [nemis).
pareillement (autant que les en-
De-sorte-qu'à la fin,
dès qu'une fois ils furent troublés,
se-rencontrant eux-mêmes
dans plusieurs *parties* de l'armée
et amis *rencontrant* des amis
et citoyens des citoyens,
non seulement
ils *se* mettaient en crainte, [mains
mais encore *en* étant venus aux
les uns contre les autres
ils étaient séparés avec-peine.
Et étant poursuivis
et la plupart *se* jetant eux-mêmes
des hauteurs-escarpées
périssaient,
la descente en-arrière
des Epipoles
étant étroite,
et après que ceux qui étaient sauvés
étaient descendus d'en-haut
dans la plaine,
d'une part la plupart d'entre eux
et tous-ceux-qui étaient
des premiers soldats
se réfugiaient dans le camp
par suite d'une expérience
davantage (plus grande)
du pays, [après
d'autre part ceux (de ceux) venus
il *en* est qui
s'étant trompés dans les routes
errèrent dans le pays;
lesquels, dès que le jour fut,
les cavaliers des Syracusains
ayant galoppé-autour tuèrent.

XLV. Or le *jour* suivant
d'une part les Syracusains
élevèrent deux trophées,
et sur les Epipoles
à l'endroit où *était* l'approche,
et dans le lieu
où les Béotiens
avaient résisté d'abord,
d'autre part les Athéniens
enlevèrent leurs morts
sous-la-garantie-d'-une-trêve.
Or non-peu et d'eux

ὀλίγοι αὐτῶν τε καὶ τῶν ξυμμάχων, ὅπλα μέντοι ἔτι πλείω ἢ κατὰ τοὺς νεκροὺς ἐλήφθη· οἱ γὰρ κατὰ τῶν χρημνῶν βιασθέντες ἄλλεσθαι ψιλοὶ [ἄνευ τῶν ἀσπίδων] οἱ μὲν ἀπώλλυντο, οἱ δ' ἐσώθησαν.

XX. DERNIÈRE BATAILLE NAVALE DEVANT SYRACUSE.

(Liv. VII, §§ 69-72.)

LXIX. Ὁ δὲ Νικίας ὑπὸ τῶν παρόντων[1] ἐκπεπληγμένος καὶ ὁρῶν οἷος ὁ κίνδυνος καὶ ὡς ἐγγὺς ἤδη, ἐπειδὴ καὶ ὅσον οὐκ ἔμελλον ἀνάγεσθαι, καὶ νομίσας, ὅπερ πάσχουσιν ἐν τοῖς μεγάλοις ἀγῶσι, πάντα τε ἔργῳ ἔτι σφίσιν ἐνδεᾶ εἶναι καὶ λόγῳ αὐτοῖς οὔπω ἱκανὰ εἰρῆσθαι, αὖθις τῶν τριηράρχων ἕνα ἕκαστον ἀνεκάλει, πατρόθεν τε ὀνομάζων καὶ αὐτοὺς ἐπονομαστὶ καὶ φυλήν, ἀξιῶν τό τε καθ' ἑαυτόν (ᾧ ὑπῆρχε λαμπρότητός τι) μὴ προδιδόναι τινὰ, καὶ τὰς πατρικὰς ἀρετάς (ὧν ἐπιφανεῖς ἦσαν οἱ πρόγονοι) μὴ ἀφανίζειν πατρίδος τε τῆς ἐλευθερωτάτης ὑπομιμνήσκων καὶ τῆς ἐν αὐτῇ

ble; le nombre des armes prises dépassa de beaucoup celui des morts; en effet parmi les soldats qui avaient été forcés de se jeter des hauteurs sans leurs boucliers, plusieurs périrent, d'autres furent sauvés.

XX

LXIX. Nicias, effrayé de la situation et mesurant toute l'étendue du danger, éprouva le sentiment habituel aux hommes engagés dans les luttes décisives : il crut ses préparatifs incomplets et ses exhortations insuffisantes. Appelant de nouveau chacun des triérarques par son nom, par celui de son père et de sa tribu, il les conjura de ne pas trahir leur illustration personnelle ou les vertus de leurs aïeux, leur retraçant la liberté illimitée dont jouissait leur patrie, la parfaite indépendance assurée

καὶ τῶν ξυμμάχων
ἀπέθανον,
ὅπλα μέντοι
ἔτι πλείω
ἢ κατὰ τοὺς νεκροὺς
ἑλήφθη·
οἱ γὰρ βιασθέντες ἅλλεσθαι
κατὰ τῶν κρημνῶν
ψιλοὶ ἄνευ τῶν ἀσπίδων
οἱ μὲν ἀπώλλυντο,
οἱ δὲ ἐσώθησαν.

et de leurs alliés
moururent,
des armes pourtant
encore plus nombreuses
qu'en-proportion des morts
furent prises;
car ceux (de ceux) forcés de sauter
des hauteurs-escarpées
nus (désarmés) sans leurs boucliers
les uns périssaient,
les autres furent sauvés.

XX. DERNIÈRE BATAILLE NAVALE DEVANT SYRACUSE.

LXIX. Ὁ δὲ Νικίας
ἐκπεπληγμένος
ὑπὸ τῶν παρόντων
καὶ ὁρῶν οἷος
ὁ κίνδυνος
καὶ ὡς ἐγγὺς ἤδη,
ἐπειδὴ καὶ
ὅσον οὔκ ἔμελλον
ἀνάγεσθαι,
καὶ νομίσας
ὅπερ πάσχουσιν
ἐν τοῖς μεγάλοις ἀγῶσι,
πάντα τε εἶναι ἔτι
ἐνδεᾶ σφίσιν ἔργῳ
καὶ ἱκανὰ
οὔπω εἰρῆσθαι
αὐτοῖς
λόγῳ,
ἀνεκάλει αὖθις
ἕνα ἕκαστον τῶν τριηράρχων,
ὀνομάζων πατρόθεν τε
καὶ αὐτοὺς ἐπονομαστὶ
καὶ φυλὴν,
ἀξιῶν τινά τε
(ᾧ ὑπῆρχέ τι λαμπρότητος)
μὴ προδιδόναι
τὸ κατὰ ἑαυτὸν,
καὶ (ὧν οἱ πρόγονοι
ἦσαν ἐπιφανεῖς)
μὴ ἀφανίζειν
τὰς ἀρετὰς πατρικὰς,
ὑπομιμνήσκων
πατρίδος τε τῆς ἐλευθερωτάτης

LXIX. Or Nicias,
effrayé
par les choses présentes
et voyant quel *était*
le danger
et combien près déjà,
puisque même
ils (les ennemis) devaient presque
se porter-en-avant,
et ayant pensé,
ce qu'on éprouve
dans les grandes luttes,
et tout être encore
incomplet pour eux en action
et des choses suffisantes
n'avoir pas-encore été dites
à eux (aux Athéniens)
en parole,
il rappelait de-nouveau
un chacun des triérarques,
les appelant et du nom-de-leur-père
et eux-mêmes nominativement
et *appelant leur* tribu,
priant et chacun [tion)
(à qui était quelque *peu* d'illustra-
de ne pas trahir [même,
la *réputation* relativement à lui-
et *priant* (*ceux* dont les ancêtres
étaient illustres)
de ne pas faire-disparaître
les vertus de-leurs-pères,
les faisant-souvenir [*toutes*
et de *leur* patrie la plus libre de

ἀνεπιτάκτου πᾶσιν ἐς τὴν δίαιταν ἐξουσίας, ἄλλα τε λέγων ὅσα ἐν τῷ τοιούτῳ ἤδη τοῦ καιροῦ ὄντες ἄνθρωποι οὐ πρὸς τὸ δοκεῖν τινι ἀρχαιολογεῖν φυλαξάμενοι εἴποιεν ἂν, καὶ[1] ὑπὲρ ἁπάντων παραπλήσια ἔς τε γυναῖκας καὶ παῖδας καὶ θεοὺς πατρῴους προφερόμενα, ἀλλ' ἐπὶ τῇ παρούσῃ ἐκπλήξει ὠφέλιμα νομίζοντες, ἐπιβοῶνται. Καὶ ὁ μὲν οὐχ ἱκανὰ μᾶλλον ἢ ἀναγκαῖα νομίσας παρῃνῆσθαι, ἀποχωρήσας ἦγε τὸν πεζὸν πρὸς τὴν θάλασσαν καὶ παρέταξεν ὡς ἐπὶ πλεῖστον ἐδύνατο, ὅπως ὅτι μεγίστη τοῖς ἐν ταῖς ναυσὶν ὠφελία ἐς τὸ θαρσεῖν γίγνοιτο. Ὁ δὲ Δημοσθένης καὶ Μένανδρος καὶ Εὐθύδημος (οὗτοι γὰρ ἐπὶ τὰς ναῦς τῶν Ἀθηναίων στρατηγοὶ ἐπέβησαν) ἄραντες ἀπὸ τοῦ ἑαυτῶν στρατοπέδου εὐθὺς ἔπλεον πρὸς τὸ ζεῦγμα[2] τοῦ λιμένος καὶ τὸν παραλειφθέντα διέκπλουν, βουλόμενοι βιάσασθαι ἐς τὸ ἔξω.

LXX. Προεξαναγαγόμενοι δὲ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ναυσὶ παραπλησίαις τὸν ἀριθμὸν καὶ πρότερον, κατά

à chacun dans sa vie privée. Il ajouta à ces paroles tous les lieux communs auxquels on a recours dans un moment suprême, en leur parlant de leurs femmes, de leurs enfants, des dieux nationaux. Après avoir dit, non tout ce qu'il eût voulu, mais ce qu'il jugeait indispensable, Nicias revint en arrière, et conduisit l'armée sur le bord de la mer. Il étendit sa ligne le plus possible, afin d'augmenter la confiance de ceux qui étaient sur les vaisseaux. En même temps Démosthène, Ménandre et Euthydème, qui commandaient la flotte athénienne, partirent de leur station, en se dirigeant droit vers le barrage du port et l'intervalle resté libre. Leur intention était de forcer le passage.

LXX. Les Syracusains et leurs alliés s'avancèrent avec le même nombre de vaisseaux que dans le combat précédent. Ils en em-

καὶ τῆς ἐξουσίας
ἀνεπιτάκτου
ἐν αὐτῇ
πᾶσιν
ἐς τὴν δίαιταν,
λέγων τε ἄλλα
ὅσα ἄνθρωποι
ὄντες ἤδη
ἐν τῷ τοιούτῳ καιροῦ
εἴποιεν ἄν,
οὐ φυλαξάμενοι
πρὸς τὸ δοκεῖν τινι
ἀρχαιολογεῖν,
καὶ ἐπιβοῶνται
προφερόμενα παραπλήσια
ὑπὲρ ἁπάντων
ἔς τε γυναῖκας καὶ παῖδας
καὶ θεοὺς πατρῴους,
ἀλλὰ νομίζοντες ὠφέλιμα
ἐπὶ τῇ ἐκπλήξει παρούσῃ.
Καὶ ὁ μὲν νομίσας
οὐχ ἱκανὰ
μᾶλλον ἢ ἀναγκαῖα
παρῃνῆσθαι,
ἀποχωρήσας
ἦγε τὸν πεζὸν
πρὸς τὴν θάλασσαν
καὶ παρέταξεν
ἐπὶ πλεῖστον ὡς ἐδύνατο,
ὅπως ὠφελία
ὅτι μεγίστη
πρὸς τὸ θαρσεῖν
γίγνοιτο τοῖς ἐν ταῖς ναυσίν.
Ὁ δὲ Δημοσθένης
καὶ Μένανδρος καὶ Εὐθύδημος
(οὗτοι γὰρ ἐπέβησαν
στρατηγοὶ
ἐπὶ τὰς ναῦς τῶν Ἀθηναίων)
ἄραντες
ἀπὸ τοῦ στρατοπέδου ἑαυτῶν
ἔπλεον εὐθὺς πρὸς
τὸ ζεῦγμα τοῦ λιμένος
καὶ τὸν διεκπλοῦν παραλειφθέντα,
βουλόμενοι βιάσασθαι
ἐς τὸ ἔξω.
LXX. Οἱ δὲ Συρακόσιοι
καὶ οἱ ξύμμαχοι
προεξαναγαγόμενοι
ναυσὶ παραπλησίαις
τὸν ἀριθμὸν

et de l'indépendance
ne-subissant-point-d'ordre
dans elle
pour tous
pour le genre-de-vie,
et disant d'autres choses
toutes-celles-que des hommes
étant déjà,
à un tel *point* d'occasion
diraient,
n'ayant pas pris-garde
contre le paraître à quelqu'un
dire-des-choses-vieilles,
et *toutes les choses qu'*on proclame
énoncées semblables
pour toutes *les occasions*
à-l'égard et des femmes et des enfants
et des dieux paternels,
mais *les* regardant-comme utiles
pour la frayeur présente.
Et lui d'une part ayant pensé
non des choses suffisantes
plutôt que nécessaires
avoir été conseillées *par lui*,
s'étant retiré
il conduisait le piéton (l'armée de terre)
vers la mer,
et il *le*-rangea-en-bataille
le plus largement qu'il put,
afin que l'aide
la plus grande possible
pour le prendre-confiance
fût à ceux *étant* dans les vaisseaux.
D'autre part Démosthène
et Ménandre et Euthydème
(car ceux-ci étaient montés
comme stratèges
sur les vaisseaux des Athéniens)
ayant levé-l'ancre
du camp d'eux-mêmes
naviguaient aussitôt vers
le barrage du port
et le passage laissé-auprès,
voulant forcer
pour aller dans le dehors (pour sortir).
LXX. D'autre part les Syracusains
et leurs alliés
s'étant avancés
avec des vaisseaux égaux
par le nombre

τε τὸν ἔκπλουν μέρει αὐτῶν ἐφύλασσον καὶ κατὰ τὸν ἄλλον κύκλῳ λιμένα, ὅπως πανταχόθεν ἅμα προσπίπτοιεν τοῖς Ἀθηναίοις, καὶ ὁ πεζὸς ἅμα αὐτοῖς παραβοηθῇ ἧπερ καὶ αἱ νῆες κατίσχοιεν. Ἦρχον δὲ τοῦ ναυτικοῦ τοῖς Συρακοσίοις Σικανὸς μὲν καὶ Ἀγάθαρχος, κέρας ἑκάτερος τοῦ παντὸς ἔχων, Πυθὴν δὲ καὶ οἱ Κορίνθιοι τὸ μέσον. Ἐπειδὴ δὲ καὶ οἱ ἄλλοι Ἀθηναῖοι προσέμισγον τῷ ζεύγματι, τῇ μὲν πρώτῃ ῥύμῃ ἐπιπλέοντες ἐκράτουν τῶν τεταγμένων νεῶν πρὸς αὐτῷ, καὶ ἐπειρῶντο λύειν τὰς κλήσεις· μετὰ δὲ τοῦτο πανταχόθεν σφίσι τῶν Συρακοσίων καὶ ξυμμάχων ἐπιφερομένων οὐ πρὸς τῷ ζεύγματι ἔτι μόνον ἦν ἡ ναυμαχία, ἀλλὰ καὶ κατὰ τὸν λιμένα ἐγίγνετο, καὶ ἦν καρτερὰ καὶ οἵα οὐχ ἑτέρα τῶν προτέρων. Πολλὴ μὲν γὰρ ἑκατέροις προθυμία ἀπὸ τῶν ναυτῶν ἐς τὸ ἐπιπλεῖν ὁπότε κελευσθείη ἐγίγνετο, πολλὴ δὲ ἡ ἀντιτέχνησις τῶν κυβερνητῶν καὶ ἀγωνισμὸς πρὸς ἀλλή-

ployèrent une partie à garder la passe, et disposèrent les autres en demi-cercle dans le reste du port, afin d'attaquer de tous les côtés à la fois. Au même instant, leur armée de terre se portait sur tous les points accessibles. La flotte syracusaine était sous les ordres de Sicane et d'Agatharque, qui commandaient chacun une des deux ailes. Pythen et les Corinthiens occupaient le centre. Quand les Athéniens eurent atteint le barrage, ils enfoncèrent du premier choc la division qui le gardait, et tentèrent de se faire jour. Ensuite les Syracusains fondant sur eux de tous côtés, l'action s'engagea, non plus seulement auprès du barrage, mais aussi dans l'intérieur du port. La lutte fut acharnée et hors de toute comparaison avec les précédentes. De part et d'autre les matelots se montraient impatients de commencer l'attaque au premier signal; les pilotes rivalisaient de talent et de zèle; les

καὶ πρότερον — et auparavant (aux vaisseaux d'au-
ἐφύλασσον — veillaient [paravant)
μέρει αὐτῶν — avec une partie d'eux
κατά τε τὸν ἔκπλουν — et sur la sortie
καὶ κατὰ τὸν ἄλλον λιμένα — et sur le reste du port
κύκλῳ, — en cercle,
ὅπως προσπίπτοιεν — afin qu'ils tombassent
τοῖς Ἀθηναίοις — sur les Athéniens
πανταχόθεν ἅμα, — de tous-les-côtés à-la-fois,
καὶ ὁ πεζὸς — et *que* le piéton (l'armée de terre)
παραβοηθῇ ἅμα αὐτοῖς, — aidât en-même temps eux,
ἥπερ καὶ αἱ νῆες κατίσχοιεν. — là-où aussi les navires aborderaient.
Ἦρχον δὲ τοῦ ναυτικοῦ — Or commandaient à la flotte
τοῖς Συρακοσίοις — pour les Syracusains
Σικανὸς μὲν καὶ Ἀγάθαρχος, — d'une part Sicane et Agatharque,
ἔχων ἑκάτερος — ayant chacun-des-deux
κέρας τοῦ παντός, — une aile de la *flotte* entière,
Πυθὴν δὲ καὶ οἱ Κορίνθιοι — d'autre part Pythen et les Corin-
τὸ μέσον. — *ayant* le milieu. [thiens
Ἐπειδὴ δὲ καὶ οἱ ἄλλοι — D'autre part après que les autres
Ἀθηναῖοι — *à savoir les* Athéniens [aussi
προσέμισγον τῷ ζεύγματι, — se furent approchés du barrage,
τῇ μὲν πρώτῃ ῥύμῃ — d'une part au premier choc
ἐπιπλέοντες ἐκράτουν — faisant-voile-contre ils s'empa-
τῶν νεῶν τεταγμένων — des vaisseaux rangés [raient
πρὸς αὐτῷ, — près de lui,
καὶ ἐπειρῶντο λύειν — et tâchaient de délier (de rompre)
τὰς κλῆσεις· — les fermetures;
μετὰ δὲ τοῦτο — or après cela
τῶν Συρακοσίων — les Syracusains
καὶ τῶν ξυμμάχων — et leurs alliés
ἐπιφερομένων σφίσιν — se-portant-contre eux
πανταχόθεν — de-tous-côtés,
ἡ ναυμαχία ἦν — le combat était
οὐκ ἔτι μόνον — non plus seulement
πρὸς τῷ ζεύγματι, — près du barrage,
ἀλλὰ καὶ ἐγίγνετο — mais encore il avait-lieu
κατὰ τὸν λιμένα, — dans le port,
καὶ ἦν καρτέρα — et il était violent
καὶ οἵα οὐχ ἑτέρα — et *tel* que pas un autre
τῶν προτέρων. — des précédents.
Πολλὴ μὲν γὰρ προθυμία — Car d'une part une grande ardeur
ἐγίγνετο ἑκατέροις — était à chacun-des-deux *partis*
ἀπὸ τῶν ναυτῶν — de-la-part des matelots
ἐς τὸ ἐπιπλεῖν — pour le naviguer-contre *l'ennemi*
ὁπότε κελευσθείη, — toutes-les-fois-que *cela* était ordon-
ἡ δὲ ἀντιτέχνησις — d'autre part la lutte-d'habileté [né,
τῶν κυβερνητῶν — des pilotes
πολλὴ — *était* grande
καὶ ἀγωνισμὸς — et (ainsi que) *leur* rivalité

λους· οἵ τε ἐπιβάται ἐθεράπευον, ὁπότε προσπέσοι ναῦς νηΐ, μὴ λείπεσθαι τὰ ἀπὸ τοῦ καταστρώματος τῆς ἄλλης τέχνης· πᾶς τέ τις ἐν ᾧ προσετέτακτο αὐτὸς ἕκαστος ἠπείγετο πρῶτος φαίνεσθαι. Ξυμπεσουσῶν δὲ ἐν ὀλίγῳ πολλῶν νεῶν (πλεῖσται γὰρ δὴ αὗται ἐν ἐλαχίστῳ ἐναυμάχησαν· βραχὺ γὰρ ἀπέλιπον ξυναμφότεραι διακόσιαι γενέσθαι) αἱ μὲν ἐμβολαὶ[1] διὰ τὸ μὴ εἶναι τὰς ἀναχρούσεις καὶ διέκπλους ὀλίγαι ἐγίγνοντο, αἱ δὲ προσβολαί, ὡς τύχοι ναῦς νηὶ προσπεσοῦσα ἢ διὰ τὸ φεύγειν ἢ ἄλλῃ ἐπιπλέουσα, πυκνότεραι ἦσαν. Καὶ ὅσον μὲν χρόνον προσφέροιτο ναῦς, οἱ ἀπὸ τῶν καταστρωμάτων τοῖς ἀκοντίοις καὶ τοξεύμασι καὶ λίθοις ἀφθόνως ἐπ' αὐτὴν ἐχρῶντο· ἐπειδὴ δὲ προσμίξειαν, οἱ ἐπιβάται ἐς χεῖρας ἰόντες ἐπειρῶντο ταῖς ἀλλήλων ναυσὶν ἐπιβαίνειν. Ξυνετύγχανέ τε πολλαχοῦ διὰ τὴν στενοχωρίαν τὰ μὲν ἄλλοις ἐμβεβληκέναι, τὰ δὲ αὐτοὺς ἐμβεβλῆσθαι, δύο τε περὶ μίαν καὶ ἔστιν ἣ καὶ πλείους ναῦς κατ' ἀνάγκην ξυνηρτῆσθαι, καὶ τοῖς

soldats du bord, sitôt que les vaisseaux s'étaient accostés, avaient soin que le service du pont ne fût pas inférieur à la manœuvre. C'était à qui se signalerait dans le poste qui lui était assigné. Jamais un espace si étroit n'avait vu combattre tant de navires; car les deux flottes réunies comptaient près de deux cents bâtiments. Aussi l'encombrement produit par cette accumulation rendait très rares les attaques directes, vu l'impossibilité de reculer ou de percer la ligne ennemie. Le plus souvent les vaisseaux ne faisaient que s'entrechoquer, en voulant fuir ou courir sur un autre bâtiment. Un vaisseau s'avançait-il pour attaquer, il essuyait une grêle de traits, de flèches, de pierres lancées du tillac ennemi; puis, lorsqu'on s'était joint, les soldats en venaient aux mains et s'efforçaient de monter à l'abordage. Souvent il arrivait, faute de place, qu'un même navire heurtait pendant qu'il était heurté, en sorte qu'on voyait deux vaisseaux, ou quelquefois davantage, accrochés autour d'un seul, sans pouvoir se dégager.

πρὸς ἀλλήλους·
οἵ τε ἐπιβάται ἐθεράπευον
τὰ ἀπὸ τοῦ καταστρώματος,
ὁπότε ναῦς
προσπέσοι νηΐ,
μὴ λείπεσθαι
τῆς ἄλλης τέχνης·
πᾶς τε τις ἕκαστος
ἠπείγετο φαίνεσθαι πρῶτος
ἐν ᾧ προσετέταχτο
αὐτός.
Πολλῶν δὲ νεῶν
ξυμπεσουσῶν ἐν ὀλίγῳ
(αὗται γὰρ δὴ πλεῖσται
ἐναυμάχησαν
ἐν ἐλαχίστῳ·
ξυναμφότεραι γὰρ
ἀπέλιπον βραχὺ
γενέσθαι διακόσιαι)
αἱ μὲν ἐμβολαὶ
ἐγίγνοντο ὀλίγαι
διὰ τὸ
τὰς ἀνακρούσεις καὶ διέκπλους
μὴ εἶναι,
αἱ δὲ προσβολαὶ
ἦσαν πυκνότεραι,
ὡς ναῦς τύχοι
προσπεσοῦσα νηΐ,
ἢ διὰ τὸ φεύγειν
ἢ ἐπιπλέουσα ἄλλῃ.
Καὶ ὅσον μὲν χρόνον
ναῦς προσφέροιτο,
οἱ ἀπὸ τῶν καταστρωμάτων
ἐχρῶντο ἀφθόνως
ἐπὶ αὐτὴν
τοῖς ἀκοντίοις καὶ τοξεύμασι
καὶ λίθοις·
ἐπειδὴ δὲ προσμίξειαν
οἱ ἐπιβάται ἰόντες ἐς χεῖρας
ἐπειρῶντο ἐπιβαίνειν
ταῖς ναυσὶν ἀλλήλων.
Ξυνετύγχανέ τε
πολλαχοῦ
διὰ τὴν στενοχωρίαν
τὰ μὲν ἐμβεβληκέναι
ἄλλοις,
τὰ δὲ ἐμβληθῆναι αὐτούς,
δύο τε ναῦς
καὶ ἔστιν ἢ πλείους
ξυνηρτῆσθαι περὶ μίαν

les uns envers les autres;
et les épibates prenaient-soin
le *service* du pont,
lorsqu'un vaisseau
tombait-sur un vaisseau,
ne pas rester-en-arrière
du reste de l'art (de la manœuvre);
et tout un chacun
avait-hâte de paraître le premier
dans la *tâche* où il avait été placé
lui-même.
Or beaucoup de vaisseaux [*pace*
s'étant rencontrés dans un petit *es-*
(car ceux-ci certes très-nombreux
combattirent
dans un très-petit *espace* ;
car les-uns-et-les-autres-ensemble
furent éloignés peu
d'être deux cents) [peron
d'une part les attaques-avec-l'é-
étaient peu-nombreuses
à-cause-de ceci [*la ligne ennemie*
les reculs et les passages-à-travers
n'être pas *possibles*,
d'autre part les chocs
étaient plus fréquents,
selon qu'un navire se trouvait
rencontrant un navire,
ou à-cause du fuir
ou voguant-contre un autre.
Et d'une part tout le temps que
un navire se portait *contre un autre*,
les *soldats* des ponts
se servaient abondamment
contre lui
des javelots et des flèches
et des pierres;
mais lorsqu'ils s'étaient joints,
les épibates venant aux mains
s'efforçaient de monter
sur les vaisseaux les uns-des-autres.
Et il arrivait-en-même-temps
en-beaucoup-d'endroits
à cause de l'étroitesse-du-lieu
d'une part d'avoir heurté-de-l'épe-
d'autres, [ron
d'autre part d'avoir été heurté soi-
et deux vaisseaux [même,
et il est *des endroits* où plusieurs
avoir été attachés autour d'un seul

κυβερνήταις τῶν μὲν φυλακὴν τῶν δ' ἐπιβουλήν, μὴ καθ' ἓν ἕκαστον, κατὰ πολλὰ δὲ πανταχόθεν, περιεστάναι, καὶ τὸν κτύπον μέγαν ἀπὸ πολλῶν νεῶν ξυμπιπτουσῶν ἔκπληξίν τε ἅμα καὶ ἀποστέρησιν τῆς ἀκοῆς ὧν οἱ κελευσταὶ φθέγγοιντο παρέχειν. Πολλὴ γὰρ δὴ ἡ παρακέλευσις καὶ βοὴ ἀφ' ἑκατέρων τοῖς κελευσταῖς[1] κατά τε τὴν τέχνην καὶ πρὸς τὴν αὐτίκα φιλονικίαν ἐγίγνετο, τοῖς μὲν Ἀθηναίοις βιάζεσθαί τε τὸν ἔκπλουν· ἐπιβοῶντες[2] καὶ περὶ τῆς ἐς τὴν πατρίδα σωτηρίας νῦν, εἴ ποτε καὶ αὖθις, προθύμως ἀντιλαβέσθαι, τοῖς δὲ Συρακοσίοις καὶ ξυμμάχοις καλὸν εἶναι κωλῦσαί τε αὐτοὺς διαφυγεῖν καὶ τὴν οἰκείαν ἑκάστους πατρίδα νικήσαντας ἐπαυξῆσαι. Καὶ οἱ στρατηγοὶ προσέτι ἑκατέρων, εἴ τινά που ὁρῷεν μὴ κατ' ἀνάγκην πρύμναν κρουόμενον, ἀνακαλοῦντες ὀνομαστὶ τὸν τριήραρχον ἠρώτων, οἱ μὲν Ἀθηναῖοι, εἰ τὴν πολεμιωτάτην γῆν οἰκειοτέραν ἤδη τῆς οὐ δι' ὀλίγου πόνου κεκτημένης θαλάσσης ἡγούμενοι

Les pilotes, occupés de l'attaque et de la défense, étaient obligés d'avoir l'œil de tous les côtés à la fois. Le bruit assourdissant causé par la rencontre de cette multitude de navires couvrait la voix des *céleustes*, qui, de part et d'autre, redoublaient de cris et d'exhortations pour commander la manœuvre ou ranimer l'ardeur des matelots. Aux Athéniens, ils criaient de forcer le passage ; que c'était le moment ou jamais de combattre vaillamment pour revoir leurs foyers ; aux Syracusains et à leurs alliés, qu'il était beau d'empêcher l'évasion de leurs adversaires et d'augmenter par ce fait d'armes la gloire de leurs nations. Les généraux des deux armées voyaient-ils un vaisseau reculer sans nécessité, ils appelaient nominativement le triérarque et lui demandaient, les Athéniens, s'il pensait que cette terre hostile vers laquelle il rétrogradait, fût plus favorable que la mer conquise par tant de

κατὰ ἀνάγκην,
καὶ φυλακὴν τῶν μὲν
ἐπιβουλὴν τῶν δὲ,
μὴ κατὰ ἕκαστον ἓν,
κατὰ δὲ πολλὰ
πανταχόθεν,
περιεστάναι τοῖς κυβερνήταις,
καὶ τὸν μέγαν κτύπον
ἀπὸ πολλῶν νεῶν
ξυμπιπτουσῶν
παρέχειν ἅμα
ἔκπληξίν τε
καὶ ἀποστέρησιν τῆς ἀκοῆς
ὧν οἱ κελευσταὶ φθέγγοιντο.
Ἡ γὰρ δὴ παρακέλευσις
καὶ βοὴ
ἐγίγνετο πολλὴ
ἀπὸ ἀμφοτέρων
τοῖς κελευσταῖς
κατά τε τὴν τέχνην
καὶ πρὸς
τὴν φιλοτιμίαν αὐτίκα,
ἐπιβοῶντες
τοῖς μὲν Ἀθηναίοις
βιάζεσθαί τε τὸν ἔκπλουν
καὶ ἀντιλαβέσθαι προθύμως
περὶ τῆς σωτηρίας
ἐς τὴν πατρίδα,
νῦν,
εἴ ποτε καὶ
αὖθις,
τοῖς δὲ Συρακοσίοις
καὶ ξυμμάχοις
εἶναι καλὸν
κωλῦσαί τε αὐτοὺς διαφυγεῖν
καὶ νικήσαντας
ἐπαυξῆσαι ἑκάστους
τὴν οἰκείαν πατρίδα.
Καὶ οἱ στρατηγοὶ προσέτι
ἑκατέρων,
εἴ ὁρῷέν πού τινα
κρουόμενον πρύμναν
μὴ κατὰ ἀναγκὴν,
ἀνακαλοῦντες ὀνομαστὶ
τὸν τριήραρχον
ἠρώτων,
οἱ μὲν Ἀθηναῖοι,
εἰ ὑποχωροῦσιν ἡγούμενοι
τὴν γῆν πολεμιωτάτην
οἰκειοτέραν ἤδη

par nécessité, [uns
et la garde (la défense) contre les
et l'attaque contre les autres,
non par chaque *côté* un *à un*
mais par beaucoup
de-toute-part,
avoir entouré les pilotes,
et le grand bruit
résultant de beaucoup de vaisseaux
se-rencontrant
causer à-la fois
et effroi
et privation de l'audition [saient.
des choses que les céleustes di-
Car certes l'exhortation
et le cri
étaient grands
des deux *côtés*
aux céleustes
et selon leur art
et eu-égard-à
la rivalité du-moment,
criant
aux Athéniens d'une part
et de forcer la sortie
et de s'occuper avec-ardeur
de leur salut (de leur retour)
dans leur patrie,
maintenant
si jamais aussi [fois,
ils s'en étaient occupés une-autre-
d'autre part aux Syracusains
et à *leurs* alliés
être beau
et d'empêcher eux de s'échapper
et ayant vaincu
d'augmenter chacun
leur propre patrie.
Et les stratèges en-outre
de chacun-des-deux *partis*, [qu'un
s'ils voyaient quelque-part quel-
reculant *sa* poupe
non par nécessité,
rappelant nominativement
le triérarque
lui demandaient,
les Athéniens d'une part,
s'ils se-retirent jugeant
cette terre très-ennemie [tenant
plus familière (plus amie) main-

ὑποχωροῦσιν, οἱ δὲ Συρακόσιοι, εἰ οὓς σαφῶς ἴσασι προθυμουμένους [Ἀθηναίους] παντὶ τρόπῳ διαφυγεῖν, τούτους αὐτοὶ φεύγοντας φεύγουσιν.

LXXI. Ὅ τε ἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων, ἰσορρόπου τῆς ναυμαχίας καθεστηκυίας, πολὺν τὸν ἀγῶνα καὶ ξύστασιν τῆς γνώμης εἶχε, φιλονικῶν μὲν ὁ αὐτόθεν περὶ τοῦ πλείονος ἤδη καλοῦ, δεδιότες δὲ οἱ ἐπελθόντες μὴ τῶν παρόντων ἔτι χείρω πράξωσι. Πάντων γὰρ δὴ ἀνακειμένων τοῖς Ἀθηναίοις ἐς τὰς ναῦς, ὅ τε φόβος ἦν ὑπὲρ τοῦ μέλλοντος οὐδενὶ ἐοικώς, καὶ διὰ τὸ ἀνώμαλον τῆς τάξεως ἀνώμαλον καὶ τὴν ἔποψιν τῆς ναυμαχίας ἐκ τῆς γῆς ἠναγκάζοντο ἔχειν. Δι' ὀλίγου γὰρ οὔσης τῆς θέας καὶ οὐ πάντων ἅμα ἐς τὸ αὐτὸ σκοπούντων, εἰ μέν τινες ἴδοιέν πῃ τοὺς σφετέρους ἐπικρατοῦντας, ἀνεθάρσησάν τε ἂν[1] καὶ πρὸς ἀνάκλησιν θεῶν μὴ στερῆσαι[2] σφᾶς τῆς σωτηρίας ἐτρέποντο· οἱ δ' ἐπὶ τὸ ἡσσώμενον βλέψαντες ὀλοφυρμῷ τε ἅμα μετὰ βοῆς ἐχρῶντο καὶ ἀπὸ τῶν δρωμένων

travaux; les Syracusains, s'il fuyait des ennemis qu'il savait bien n'avoir d'autre but que la fuite.

LXXI. Pendant que sur mer on se disputait ainsi la victoire, les deux armées de terre, placées sur le rivage, étaient en proie aux plus cruelles perplexités. Pour les indigènes, il s'agissait de compléter leur triomphe; pour les étrangers, d'échapper à un désastre. Les Athéniens, dont toute la fortune était sur leurs vaisseaux, éprouvaient de mortelles alarmes au sujet de l'avenir. Les sinuosités du rivage présentaient aux spectateurs le combat naval sous des aspects divers. Comme la scène était très rapprochée et ne pouvait s'embrasser d'un coup d'œil, ceux qui apercevaient sur quelque point les leurs victorieux reprenaient courage, invoquaient les dieux, et les suppliaient de ne pas leur envier leur salut; ceux, au contraire, qui voyaient le désavantage d'une partie de la flotte éclataient en cris de désespoir; leur

τῆς θαλάσσης κεκτημένης
οὐ διὰ ὀλίγου πόνου,
οἱ δὲ Συρακόσιοι,
εἰ αὐτοὶ φεύγουσιν
τούτους φεύγοντας
οὓς Ἀθηναίους ἴσασι σαφῶς
προθυμουμένους διαφυγεῖν
παντὶ τρόπῳ.

LXXI. Ὅ τε πεζὸς
ἀμφοτέρων
ἐκ τῆς γῆς,
τῆς ναυμαχίας καθεστηκυίας
ἰσορρόπου,
εἶχε πολὺν τὸν ἀγῶνα
καὶ ξύστασιν τῆς γνώμης,
ὁ μὲν αὐτόθεν
φιλονικῶν
περὶ τοῦ ἤδη καλοῦ
πλείονος,
οἱ δὲ ἐπελθυθότες
δεδιότες μὴ πράξωσιν
ἔτι χείρω
τῶν παρόντων.
Πάντων γὰρ δὴ
ἀνακειμένων τοῖς Ἀθηναίοις
ἐς τὰς ναῦς,
ὅ τε φόβος ἦν,
ὑπὲρ τοῦ μέλλοντος
ἐοικὼς οὐδενὶ,
καὶ διὰ τὸ ἀνώμαλον
τῆς τάξεως
ἠναγκάζοντο καὶ ἔχειν
ἐκ τῆς γῆς
τὴν ἔποψιν τῆς ναυμαχίας
ἀνώμαλον.
Τῆς γὰρ θέας οὔσης
διὰ ὀλίγου,
καὶ πάντων οὐ σκοπούντων ἅμα
ἐς τὸ αὐτὸ,
εἴ μέν τινες
ἴδοιέν πῃ
τοὺς σφετέρους ἐπικρατοῦντας,
ἀνεθάρσησάν τε ἄν,
καὶ ἐτρέποντο
πρὸς ἀνάκλησιν θεῶν
μὴ στερῆσαι σφᾶς
τῆς σωτηρίας·
οἱ δὲ βλέψαντες
ἐπὶ τὸ ἡσσώμενον
ἐχρῶντό τε ὀλοφυρμῷ

que la mer conquise
non par une petite peine,
d'autre part les Syracusains,
si eux-mêmes fuient
ceux-là qui fuient [rement
lesquels Athéniens ils savent clai-
désirant s'échapper
de toute manière.

LXXI. Et l'*armée* de-pied (de terre)
des deux *partis*
regardant de la terre,
le combat-naval étant devenu
égal (disputé),
avait grande l'angoisse
et *grand* conflit de la pensée,
d'une part celle de-là (l'armée in- [digène)
s'efforçant
sur ce *qui était* déjà beau
devant être rendu plus grand, [tre
d'autre part ceux étant-venus-con-
craignant qu'ils n'aient fait
des *affaires* encore pires
que les présentes.
Car toutes choses certes
étant placées pour les Athéniens
dans leurs vaisseaux,
et leur crainte était
pour l'avenir
ne ressemblant à aucune,
et à-cause-de l'inégalité
de leur position
ils étaient forcés aussi d'avoir
de la terre
la vue du combat-naval
inégale.
Car le spectacle étant
à petite *distance*
et tous ne regardant pas à-la-fois
vers le même *point*,
si d'une part quelques-uns
voyaient quelque-part
les leurs vainquant,
et ils reprenaient-confiance,
et se tournaient
vers l'invocation des dieux [eux
leur demandant de ne pas priver
du salut;
d'autre part ceux ayant regardé
vers la *partie* qui était vaincue,
et usaient de lamentation

τῆς ὄψεως καὶ τὴν γνώμην μᾶλλον τῶν ἐν τῷ ἔργῳ ἐδουλοῦντο. Ἄλλοι δὲ καὶ πρὸς ἀντίπαλόν τι τῆς ναυμαχίας ἀπιδόντες, διὰ τὸ ἀκρίτως ξυνεχὲς τῆς ἁμίλλης καὶ τοῖς σώμασιν αὐτοῖς ἴσα τῇ δόξῃ περιδεῶς ξυναπονεύοντες ἐν τοῖς χαλεπώτατα διῆγον· ἀεὶ γὰρ παρ' ὀλίγον ἢ διέφευγον ἢ ἀπώλλυντο. Ἦν τε ἐν τῷ [αὐτῷ] στρατεύματι τῶν Ἀθηναίων, ἕως ἀγχώμαλα ἐναυμάχουν, πάντα ὁμοῦ ἀκοῦσαι, ὀλοφυρμὸς, βοὴ, νικῶντες, κρατούμενοι, ἄλλα ὅσα ἐν μεγάλῳ κινδύνῳ μέγα στρατόπεδον πολυειδῆ ἀναγκάζοιτο φθέγγεσθαι. Παραπλήσια δὲ καὶ οἱ ἐπὶ τῶν νεῶν αὐτοῖς ἔπασχον, πρίν γε δὴ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ἐπὶ πολὺ ἀντισχούσης τῆς ναυμαχίας ἔτρεψάν τε τοὺς Ἀθηναίους καὶ ἐπικείμενοι λαμπρῶς, πολλῇ κραυγῇ καὶ διακελευσμῷ χρώμενοι, κατεδίωκον ἐς τὴν γῆν. Τότε δὲ ὁ μὲν ναυτικὸς στρατὸς, ἄλλος

esprit était encore plus absorbé par ce spectacle que celui des combattants eux-mêmes. D'autres enfin, tournés vers les endroits où l'avantage était balancé et la lutte incertaine, passaient par les émotions les plus pénibles; dans leur effroi, les mouvements de leurs corps suivaient les oscillations de leurs pensées; à chaque instant ils se croyaient ou sauvés ou perdus. Tant que la bataille demeura indécise, ce ne fut, dans toute l'armée athénienne, que gémissements, cris de victoire ou de défaite, en un mot les diverses exclamations qu'arrache à une troupe nombreuse la présence d'un grand péril. Sur les vaisseaux, l'anxiété n'était pas moindre. Enfin, les Syracusains et leurs alliés, après une lutte désespérée, mirent en fuite les Athéniens, les poussèrent avec vigueur, et, s'exhortant à grands cris, les poursuivirent vers le rivage. Tout ce qui restait de la flotte athénienne, tout ce qui

μετὰ βοῆς	avec cri
καὶ ἐδουλοῦντο τὴν γνώμην	et étaient asservis quant à la pensée
μᾶλλον τῶν	plus que ceux
ἐν τῷ ἔργῳ	*qui étaient* dans l'action
ἀπὸ τῆς ὄψεως	par la vue
τῶν δρωμένων.	des choses qui étaient faites.
Ἄλλοι δὲ καὶ ἀπιδόντες	Et d'autres aussi regardant [tée)
πρός τι ἀντίπαλον	vers quelque *partie* égale (dispu-
τῆς ναυμαχίας,	du combat-naval,
διὰ τὸ ξυνεχὲς τῆς ἁμίλλης	à-cause-de la continuité du combat
ἀκρίτως	d'une-manière-non-décisive
ξυναπονεύοντες καὶ	s'inclinant-en-même-temps aussi
περιδεῶς,	avec-effroi
τοῖς σώμασιν αὐτοῖς	par leurs corps mêmes
ἴσα τῇ δόξῃ	conformément à leur pensée
διῆγον	passaient *leur temps*
χαλεπώτατα	très-péniblement [*péniblement ;*
ἐν τοῖς·	parmi ceux *qui le passaient le plus*
ἀεὶ γὰρ	car toujours
ἢ διέφευγον ἢ ἀπώλλυντο	ou ils s'échappaient ou périssaient
παρὰ ὀλίγον.	près de peu (à peu de chose près).
Πάντα τε ὁμοῦ	Et toutes choses ensemble
ἦν ἀκοῦσαι	étaient à entendre
ἐν τῷ αὐτῷ στρατεύματι	dans la même armée
τῶν Ἀθηναίων,	des Athéniens,
ἕως ἐναυμάχουν	tant qu'ils combattaient-sur-mer
ἀγχώμαλα,	également (avec chances égales) ;
ὀλοφυρμὸς, βοὴ,	lamentations cris,
νικῶντες, κρατούμενοι,	vainquants, vaincus,
ἄλλα πολυειδῆ,	*et* d'autres choses diverses
ὅσα μέγα στρατόπεδον	toutes-celles-qu'une grande armée
ἀναγκάζοιτο φθέγγεσθαι	était forcée d'exprimer
ἐν μεγάλῳ κινδύνῳ.	dans un grand danger.
Οἱ δὲ καὶ	D'autre par ceux aussi
ἐπὶ τῶν νεῶν	sur les vaisseaux
ἔπασχον	éprouvaient
παραπλήσια	des *sentiments* semblables
αὐτοῖς,	à eux (à ceux qui étaient à terre),
πρίν γε δὴ	avant que du moins certes
οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι	les Syracusains et leurs alliés
τῆς ναυμαχίας ἀντισχούσης	le combat-naval ayant duré
ἐπὶ πολὺ	pendant *longtemps*, [niens ;
ἔτρεψάν τε τοὺς Ἀθηναίους	et eussent mis-en-fuite les Athé-
καὶ ἐπικείμενοι λαμπρῶς,	et *les* pressant ouvertement,
χρώμενοι πολλῇ κραυγῇ	usant d'un grand cri
καὶ διακελευσμῷ,	et d'une *grande* exhortation,
κατεδίωκον ἐς τὴν γῆν.	les poursuivissent jusqu'à la terre.
Τότε δὲ	Or alors
ὁ μὲν στρατὸς ναυτικὸς,	d'une part l'armée navale, [pris
ὅσοι μὴ ἐάλωσαν	tous-ceux-qui n'avaient pas été

ἄλλη, ὅσοι μὴ μετέωροι ἐάλωσαν, κατενεχθέντες ἐξέπεσον ἐς τὸ στρατόπεδον· ὁ δὲ πεζὸς οὐκέτι διαφόρως, ἀλλ' ἀπὸ μιᾶς ὁρμῆς οἰμωγῇ τε καὶ στόνῳ πάντες, δυσανασχετοῦντες τὰ γιγνόμενα, οἱ μὲν ἐπὶ τὰς ναῦς παρεβοήθουν, οἱ δὲ πρὸς τὸ λοιπὸν τοῦ τείχους ἐς φυλακὴν, ἄλλοι δὲ καὶ οἱ πλεῖστοι ἤδη περὶ σφᾶς αὐτοὺς καὶ ὅπῃ σωθήσονται διεσκόπουν. Ἦν τε ἐν τῷ παραυτίκα οὐδεμιᾶς δὴ τῶν ξυμπασῶν ἐλάσσων ἔκπληξις. Παραπλήσιά τ' ἐπεπόνθεσαν καὶ ἔδρασαν αὐτοὶ ἐν Πύλῳ· διαφθαρεισῶν γὰρ τῶν νεῶν τοῖς Λακεδαιμονίοις, προσαπώλλυντο αὐταῖς καὶ οἱ ἐν τῇ νήσῳ ἄνδρες διαβεβηκότες, καὶ τότε τοῖς Ἀθηναίοις ἀνέλπιστον ἦν τὸ κατὰ γῆν σωθήσεσθαι, ἢν μή τι παρὰ λόγον γίγνηται.

LXXII. Γενομένης δ' ἰσχυρᾶς τῆς ναυμαχίας καὶ πολλῶν νεῶν ἀμφοτέροις καὶ ἀνθρώπων ἀπολομένων, οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ἐπικρατήσαντες τά τε ναυάγια καὶ τοὺς νεκροὺς ἀνείλοντο, καὶ ἀποπλεύσαντες πρὸς τὴν πόλιν τρο-

n'avait pas été pris en mer, se jeta confusément à la plage et chercha un abri vers le camp. Dès lors l'armée de terre ne fut plus partagée entre des sentiments divers; ce fut une explosion unanime de douleur, de lamentations et de sanglots. Les uns couraient au secours des vaisseaux, d'autres à la défense du reste des retranchements; d'autres enfin — et c'était le plus grand nombre — ne songeaient déjà plus qu'à leur salut personnel. Jamais on ne vit consternation plus générale et plus profonde. La situation des Athéniens était exactement semblable à celle où ils avaient mis les Lacédémoniens à Pylos. Pour ceux-ci, la perte de leurs vaisseaux entraîna celle des soldats passés dans l'île; de même alors les Athéniens n'avaient plus aucun espoir de se sauver par terre, à moins d'un événement impossible à prévoir.

LXXII. Après ce grand combat naval, où une foule d'hommes et de vaisseaux avaient péri de part et d'autre, les Syracusains et leurs alliés victorieux recueillirent les débris et les morts, ren-

μετέωροι — en-pleine-mer
κατενεχθέντες — étant portés
ἄλλος ἄλλῃ, — différent en différent *côté*
ἐξέπεσον ἐς τὸ στρατόπεδον · — se précipitèrent dans *leur* camp ;
ὁ δὲ πεζὸς — d'autre part *l'armée*-de-pied (de
οὐκέτι — non-plus [terre)
διαφόρως, — diversement (avec des sentiments
ἀλλὰ πάντες — mais tous [divers),
ἀπὸ μίας ὁρμῆς — par-suite-d'un seul élan
οἰμωγῇ τε καὶ στόνῳ — et avec plainte et gémissement
δυσανασχετοῦντες — supportant-avec-peine
τὰ γιγνόμενα, — ce qui arrivait,
παρεβοήθουν οἱ μὲν — couraient-au-secours les uns
ἐπὶ τὰς ναῦς, — vers leurs vaisseaux,
οἱ δὲ πρὸς τὸ λοιπὸν — les autres vers le reste
τοῦ τείχους — du mur
ἐς φυλακήν, — pour la garde, [breux
ἄλλοι δὲ καὶ οἱ πλεῖστοι — et d'autres mêmes les plus nom-
διεσκόπουν ἤδη — examinaient déjà
περὶ σφᾶς αὐτοὺς — relativement à eux-mêmes
καὶ ὅπῃ σωθήσονται. — et par-où ils se sauveront.
Ἔκπληξίς τε ἦν — Et consternation fut
ἐν τῷ παραύτικα — dans le *temps* du-moment
ἐλάσσων δὴ — *non* certes inférieure
οὐδεμίας — à aucune [ble.
τῶν ξυμπασῶν. — de toutes les *consternations*-ensem-
Ἐπεπόνθεσάν τε — Et ils avaient éprouvé
παραπλήσια — des choses semblables
καὶ ἔδρασαν — *à celles qu'*aussi ils avaient faites
αὐτοὶ ἐν Πύλῳ · — eux-mêmes à Pylos ;
τῶν γὰρ νεῶν διαφθαρεισῶν — car les vaisseaux ayant été détruits
τοῖς Λακεδαιμονίοις, — pour les Lacédémoniens,
καὶ οἱ ἄνδρες ἐν τῇ νήσῳ — les hommes aussi dans l'île
διαβεβηκότες — qui *y* avaient passé
προσαπώλλυντο αὐταῖς, — périssaient-avec eux,
καὶ τότε — et alors
τὸ σωθῆναι κατὰ γῆν — le être sauvé par terre
ἦν ἀνέλπιστον · — était chose non-à-espérer
τοῖς Ἀθηναίοις, — pour les Athéniens, [rive
ἢν μή τι γίγνηται — à moins que quelque chose n'ar-
παρὰ λόγον. — contre le calcul.

LXXII Τῆς δὲ ναυμαχίας — LXXII. Or le combat-naval
γενομένης ἰσχυρᾶς — ayant été violent
καὶ πολλῶν νεῶν — et beaucoup de vaisseaux
καὶ ἀνθρώπων — et d'hommes
ἀπολομένων ἀμφοτέροις — ayant péri pour les deux *partis*,
οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι — les Syracusains et *leurs* alliés
ἐπικρατήσαντες — ayant vaincu [vires
ἀνείλοντο τά τε ναυαγία — enlevèrent et les débris-des-na-
καὶ τοὺς νεκρούς, — et les morts,

παῖον ἔστησαν. Οἱ δ' Ἀθηναῖοι, ὑπὸ μεγέθους τῶν παρόντων κακῶν, νεκρῶν μὲν πέρι ἢ ναυαγίων οὐδὲ ἐπενόουν αἰτῆσαι ἀναίρεσιν, τῆς δὲ νυκτὸς ἐβούλοντο εὐθὺς ἀναχωρεῖν. Δημοσθένης δὲ Νικίᾳ προσελθὼν γνώμην ἐποιεῖτο πληρώσαντας ἔτι τὰς λοιπὰς τῶν νεῶν βιάσασθαι, ἢν δύνωνται, ἅμα ἕῳ τὸν ἔκπλουν, λέγων ὅτι πλείους ἔτι αἱ λοιπαί εἰσι νῆες χρήσιμαι σφίσιν ἢ τοῖς πολεμίοις· ἦσαν γὰρ τοῖς μὲν Ἀθηναίοις περίλοιποι ὡς ἑξήκοντα, τοῖς δ' ἐναντίοις ἐλάσσους ἢ πεντήκοντα. Καὶ ξυγχωροῦντος Νικίου τῇ γνώμῃ καὶ βουλομένων πληροῦν αὐτῶν, οἱ ναῦται οὐκ ἤθελον ἐσβαίνειν διὰ τὸ καταπεπλῆχθαι τῇ ἥσσῃ καὶ μὴ ἂν ἔτι οἴεσθαι κρατῆσαι. Καὶ οἱ μὲν[1] ὡς κατὰ γῆν ἀναχωρήσοντες ἤδη ξύμπαντες τὴν γνώμην εἶχον.

trèrent dans la ville et dressèrent un trophée. Les Athéniens, dans l'excès de leurs maux, ne songeaient pas même à réclamer leurs morts ou les débris de leurs navires; leur unique pensée était de partir immédiatement, cette nuit même. Démosthène alla trouver Nicias, et lui proposa d'équiper à nouveau ce qui restait de la flotte, pour essayer de forcer le passage au lever de l'aurore. Il soutint qu'on avait encore plus de vaisseaux en état de tenir la mer que les ennemis; ce qui était vrai, puisqu'il en restait aux Athéniens une soixantaine, et moins de cinquante aux Syracusains. Nicias donna les mains à ce projet; mais, quand on parla de s'embarquer, les matelots, encore consternés de leur défaite et désespérant de reprendre l'avantage, s'y refusèrent obstinément. Dès lors il ne fut plus question que de se retirer par terre.

καὶ ἀποπλεύσαντες
πρὸς τὴν πόλιν
ἔστησαν τροπαῖον.
Οἱ δὲ Ἀθηναῖοι,
ὑπὸ μεγέθους
τῶν κακῶν παρόντων,
οὐδὲ μὲν ἐπενόουν
αἰτῆσαι
ἀναίρεσιν
περὶ νεκρῶν
καὶ ναυαγίων,
ἐβούλοντο δὲ
ἀναχωρεῖν εὐθὺς
τῆς νυκτός.
Δημοσθένης δὲ
προσελθὼν Νικίᾳ
ἐποιεῖτο γνώμην
πληρώσαντας ἔτι
τὰς λοιπὰς τῶν νεῶν,
βιάσασθαι ἅμα ἕῳ,
ἢν δύνωνται,
τὸν ἔκπλουν,
λέγων ὅτι αἱ νῆες λοιπαὶ
χρήσιμαί
εἰσιν ἔτι πλείους σφίσιν
ἢ τοῖς πολεμίοις·
ὡς γὰρ ἑξήκοντα
ἦσαν περίλοιποι
τοῖς μὲν Ἀθηναίοις,
τοῖς δὲ ἐναντίοις
ἐλάσσους ἢ πεντήκοντα.
Καὶ Νικίου ξυγχωρούντος
τῇ γνώμῃ
καὶ αὐτῶν βουλομένων
πληροῦν,
οἱ ναῦται οὐκ ἤθελον
ἐσβαίνειν,
διὰ τὸ
καταπεπλῆχθαι τῇ ἥσσῃ
καὶ οἴεσθαι
μὴ ἔτι κρατῆσαι ἄν.
Καὶ οἱ μὲν
εἶχον ἤδη τὴν γνώμην
ξύμπαντες
ὡς ἀναχωρήσοντες
κατὰ γῆν.

et ayant navigué
vers la ville
élevèrent un trophée..
D'autre part les Athéniens,
par-suite-de la grandeur
des maux présents,
d'un côté ne songeaient même-pas
à demander
enlèvement (permission d'enlever)
au-sujet des morts
et des débris-des-vaisseaux,
d'autre part ils voulaient
se-retirer aussitôt
dès la nuit.
D'autre part Démosthène
étant allé-vers Nicias
faisait (émettait) l'avis
ayant rempli (équipé) encore
le reste des vaisseaux,
de forcer avec l'aurore,
s'ils *le* peuvent,
la sortie,
disant que les navires qui *leur* restent
capables-de-service
sont encore plus nombreux à eux
qu'aux ennemis ;
car environ soixante
étaient restants
aux Athéniens d'une part,
d'autre part à leurs adversaires
moins que cinquante.
Et Nicias approuvant
cet avis,
et eux voulant
remplir (équiper) *les navires*,
les matelots ne consentaient pas
à y-monter,
à cause de ceci
avoir été consternés par la défaite
et croire
eux ne plus pouvoir vaincre.
Et les *Athéniens* d'une part
avaient dès-lors l'intention
tous-ensemble
comme devant se-retirer
par terre.

XXI. PRÉPARATIFS DE RETRAITE DES ATHÉNIENS.

(Liv. VII, § 75.)

LXXV. Μετὰ δὲ τοῦτο[1], ἐπειδὴ ἐδόκει τῷ Νικίᾳ καὶ τῷ Δημοσθένει ἱκανῶς παρεσκευάσθαι[2], καὶ[3] ἡ ἀνάστασις ἤδη τοῦ στρατεύματος τρίτῃ ἡμέρᾳ[4] ἀπὸ τῆς ναυμαχίας ἐγίγνετο. Δεινὸν οὖν ἦν[5] οὐ καθ' ἓν μόνον τῶν πραγμάτων, ὅτι τάς τε ναῦς ἀπολωλεκότες πάσας ἀπεχώρουν καὶ ἀντὶ μεγάλης ἐλπίδος καὶ αὐτοὶ καὶ ἡ πόλις κινδυνεύοντες, ἀλλὰ καὶ ἐν τῇ ἀπολείψει τοῦ στρατοπέδου ξυνέβαινε τῇ τε ὄψει ἑκάστῳ ἀλγεινὰ καὶ τῇ γνώμῃ αἰσθέσθαι. Τῶν τε γὰρ νεκρῶν ἀτάφων ὄντων, ὁπότε τις ἴδοι τινὰ τῶν ἐπιτηδείων κείμενον, ἐς λύπην μετὰ φόβου καθίστατο, καὶ οἱ ζῶντες καταλειπόμενοι τραυματίαι τε καὶ ἀσθενεῖς πολὺ τῶν τεθνεώτων τοῖς ζῶσι λυπηρότεροι ἦσαν καὶ τῶν ἀπολωλότων ἀθλιώτεροι. Πρὸς γὰρ ἀντιβολίαν καὶ ὀλοφυρμὸν τραπόμενοι ἐς ἀπορίαν καθίστασαν, ἄγειν τε σφᾶς ἀξιοῦντες καὶ ἕνα ἕκαστον ἐπιβοώ-

XXI

LXXV. Quand Nicias et Démosthène jugèrent les apprêts suffisants, le départ de l'armée s'effectua; c'était le surlendemain du combat naval. La situation des Athéniens était affreuse. Non seulement ils avaient perdu leurs vaisseaux et voyaient leurs belles espérances faire place aux plus noirs pressentiments pour eux et pour leur patrie, mais encore l'évacuation du camp présentait le plus douloureux spectacle à la vue et à l'esprit de chacun. Les morts étaient sans sépulture; le soldat qui voyait un des siens étendu sans vie était glacé de tristesse et d'effroi. Ceux qu'on abandonnait vivants, les blessés et les malades, inspiraient encore plus de compassion et de sympathie; leurs supplications et leurs gémissements étaient à fendre le cœur. Ils conjuraient qu'on les emmenât, appelaient à grands cris tous ceux qu'ils

XXI. PRÉPARATIFS DE RETRAITE DES ATHÉNIENS.

LXXV. Μετὰ δὲ τοῦτο,
ἐπειδὴ ἐδόκει
Νικίᾳ καὶ τῷ Δημοσθένει
παρεσκευάσθαι
ἱκανῶς,
καὶ ἡ ἀνάστασις
τοῦ στρατοπέδου
ἐγίγνετο ἤδη
τρίτῃ ἡμέρᾳ
ἀπὸ τῆς ναυμαχίας.
Ἦν οὖν δεινὸν
οὐ μόνον
κατὰ ἓν
τῶν πραγμάτων,
ὅτι ἀπεχώρουν
ἀπολελωκότες τε
πᾶσας τὰς ναῦς
καὶ κινδυνεύοντες
καὶ αὐτοὶ καὶ ἡ πόλις
ἀντὶ μεγάλης ἐλπίδος,
ἀλλὰ καὶ
ἐν τῇ ἀπολείψει τοῦ στρατοπέδου
ἀλγεινὰ αἰσθέσθαι
τῇ τε ὄψει καὶ τῇ γνώμῃ
ξυνέβαινεν ἑκάστῳ.
Τῶν τε γὰρ νεκρῶν
ὄντων ἀτάφων,
ὁπότε τις ἴδοι
τινὰ τῶν ἐπιτηδείων
κείμενον,
καθίστατο ἐς λύπην
μετὰ φόβου,
καὶ οἱ καταλειπόμενοι ζῶντες
τραυματίαι τε καὶ ἀσθενεῖς
ἦσαν πολὺ λυπηρότεροι
τοῖς ζῶσι
τῶν τεθνεώτων
καὶ ἀθλιώτεροι
τῶν ἀπολωλότων.
Τραπόμενοι γὰρ
πρὸς ἀντιβολίαν καὶ ὀλοφυρμὸν
καθίστασαν
ἐς ἀπορίαν,
ἀξιοῦντές τε ἄγειν σφᾶς

LXXV. Or après cela,
comme il semblait,
à Nicias et à Démosthène
les choses avoir été préparées
suffisamment,
et (en conséquence) la levée
du camp
avait-lieu dès-lors
le troisième jour
depuis le combat-naval.
La situation était donc affreuse
non seulement
relativement à chacune
des affaires,
parce qu'ils se-retiraient
et ayant perdu
tous leurs navires
et étant-en-danger
et eux-mêmes et la ville
au-lieu-d'une grande espérance,
mais encore
dans l'abandon du camp
des choses pénibles à percevoir
et pour la vue et pour l'esprit
arrivaient à chacun.
Car et les morts
étant sans-sépulture,
quand quelqu'un voyait
quelqu'un de ses proches
gisant,
il se mettait en chagrin
avec effroi,
et ceux qui étaient abandonnés [vivants
et blessés et faibles
étaient beaucoup plus affligeants
pour les vivants
que les morts
et plus malheureux
que ceux qui avaient péri.
Car s'étant tournés
vers la supplication et la plainte,
ils mettaient *les autres*
dans l'embarras,
et *leur* demandant d'emmener eux

μενοι, εἴ τινά πού τις ἴδοι ἢ ἑταίρων ἢ οἰκείων, τῶν τε ξυσκήνων ἤδη ἀπιόντων ἐκκρεμαννύμενοι καὶ ἐπακολουθοῦντες ἐς ὅσον δύναιντο, εἴ τῳ δὲ προλίποι ἡ ῥώμη καὶ τὸ σῶμα, οὐκ ἄνευ ὀλίγων [1] ἐπιθειασμῶν καὶ οἰμωγῆς ὑπολειπόμενοι· ὥστε δάκρυσι πᾶν τὸ στράτευμα πλησθὲν καὶ ἀπορίᾳ τοιαύτῃ μὴ ῥᾳδίως ἀφορμᾶσθαι, καίπερ ἐκ πολεμίας τε καὶ μείζω ἢ κατὰ δάκρυα τὰ μὲν πεπονθότας ἤδη, τὰ δὲ περὶ τῶν ἐν ἀφανεῖ δεδιότας μὴ πάθωσι. Κατήφειά τέ τις ἅμα καὶ κατάμεμψις σφῶν αὐτῶν πολλὴ ἦν. Οὐδὲν γὰρ ἄλλο ἢ πόλει ἐκπεπολιορκημένῃ ἐῴκεσαν ὑποφευγούσῃ, καὶ ταύτῃ οὐ σμικρᾷ· μυριάδες γὰρ τοῦ ξύμπαντος ὄχλου οὐκ ἐλάσσους τεσσάρων ἅμα ἐπορεύοντο. Καὶ τούτων οἵ τε ἄλλοι ἔφερον πάντες ὅ τι τις ἐδύνατο ἕκαστος χρήσιμον, καὶ οἱ ὁπλῖται καὶ οἱ ἱππῆς παρὰ τὸ εἰωθὸς αὐτοὶ τὰ σφέτερα αὐτῶν σιτία ἐπὶ τοῖς

apercevaient de leurs compagnons ou de leurs proches, se cramponnaient à leurs camarades de tente déjà en marche, les suivaient aussi loin qu'ils pouvaient; puis, à bout de forces et d'énergie, ils s'arrêtaient en proférant des obsécrations et des sanglots; en sorte que l'armée entière fondait en pleurs et avait la mort dans l'âme. Elle avait peine à s'éloigner de cette terre ennemie où elle avait souffert des maux qu'elle ne pouvait assez déplorer; mais ceux qu'on entrevoyait dans une vague perspective étaient plus cruels encore. Les soldats étaient mornes et profondément humiliés. On eût dit une ville prise d'assaut, d'où s'enfuit une population sans nombre; en effet, il n'y avait pas moins de quarante mille hommes dans cette foule cheminant à la fois. Chacun s'était chargé du bagage le plus indispensable; les hoplites et même les cavaliers, contrairement à l'usage, portaient leurs aliments outre leurs armes, soit faute de serviteurs, soit

καὶ ἐπιβοώμενοι ἕνα ἕκαστον,
εἴ τις ἴδοι πού
τινα ἢ ἑταίρων
ἢ οἰκείων,
ἐκκρεμαννύμενοί τε
τῶν ξυσκήνων
ἀπιόντων ἤδη
καὶ ἑπακολουθοῦντες
ἐς ὅσον δύναιντο,
εἰ δὲ ἡ ῥώμη καὶ τὸ σῶμα
προλίποι τῳ,
ὑπολειπόμενοι
οὐκ ἄνευ ἐπιθειασμῶν
καὶ οἰμωγῆς
ὀλίγων·
ὥστε πᾶν τὸ στράτευμα
πλησθὲν δάκρυσι
καὶ ἀπορίᾳ τοιαύτῃ
μὴ ἀφορμᾶσθαι ῥᾳδίως,
καίπερ ἐκ πολεμίας τε
καὶ τὰ μὲν πεπονθότας ἤδη
μείζω
ἢ κατὰ δάκρυα,
τὰ δὲ
δεδιότας μὴ παθῶσι
περὶ τῶν
ἐν ἀφανεῖ.
Τίς τε κατήφεια
ἅμα καὶ
κατάμεμψις
σφῶν αὐτῶν
ἦν πολλή.
Οὐδὲν γὰρ ἄλλο ἢ
ἐῴκεσαν
πόλει ἐκπεπολιορκημένῃ
ὑποφευγούσῃ,
καὶ ταύτῃ οὐ σμικρᾷ·
μυριάδες γὰρ
τοῦ ὄχλου ξύμπαντος
οὐκ ἐλάσσους τεσσάρων
ἐπορεύοντο ἅμα.
Καὶ τούτων
οἵ τε ἄλλοι ἔφερον πάντες
ὅ τι τις ἕκαστος ἐδύνατο
χρήσιμον,
καὶ οἱ ὁπλῖται
καὶ οἱ ἱππῆς
αὐτοὶ παρὰ τὸ εἰωθὸς
τὰ σφέτερα σιτία αὐτῶν
ἐπὶ τοῖς ὅπλοις

et invoquant un chacun,
si quelqu'un voyait quelque part
quelqu'un ou de *ses* compagnons
ou de *ses* parents,
et se suspendant
à leurs camarades-de-tente
s'en allant alors
et *les* accompagnant
jusqu'à autant qu'ils pouvaient,
et si l'énergie et le corps (la force)
manquait à quelqu'un,
restant-en-arrière
non sans obsécrations
et *sans* lamentation
faibles (poussés d'une voix faible);
de-sorte-que toute l'armée
remplie de larmes
et d'un embarras tel
ne pas s'éloigner facilement,
quoique et d'une *terre* ennemie
et d'une part ayant éprouvé déjà
des maux plus grands (trop grands)
que eu-égard-aux larmes (pour être
d'un autre côté [pleurés),
craignant qu'ils n'*en* éprouvent
relativement aux choses
dans l'obscurité (dans l'avenir).
Et un certain abattement
en-même-temps aussi
un *certain* mécontentement
contre eux-mêmes
était grand (étaient grands).
Car rien autre chose *sinon* que
ils ressemblaient
à une ville prise-d'assaut
fuyant,
et celle-ci non petite;
car des myriades
de la foule tout-entière
non moindres que quatre
cheminaient ensemble.
Et de ceux-là
et les autres portaient tous
ce qu'un chacun pouvait
porter d'utile,
et les hoplites
et les cavaliers [tume
portaient eux-mêmes contre la cou-
leurs vivres d'eux-mêmes
outre leurs armes,

ὅπλοις[1] οἱ μὲν ἀπορίᾳ ἀκολούθων, οἱ δὲ ἀπιστίᾳ· ἀπηυτομολήκεσαν γὰρ πάλαι τε καὶ οἱ πλεῖστοι παραχρῆμα. Ἔφερον δὲ οὐδὲ ταῦτα ἱκανά· σῖτος γὰρ οὐκέτι ἦν ἐν τῷ στρατοπέδῳ. Καὶ μὴν ἡ ἄλλη αἰκία καὶ ἡ ἰσομοιρία τῶν κακῶν, ἔχουσά τινα ὅμως τὸ μετὰ πολλῶν κούφισιν, οὐδ' ὡς ῥᾳδία ἐν τῷ παρόντι ἐδοξάζετο, ἄλλως τε καὶ ἀπὸ οἵας λαμπρότητος καὶ αὐχήματος τοῦ πρώτου ἐς οἵαν τελευτὴν καὶ ταπεινότητα ἀφίκατο[2]. Μέγιστον γὰρ δὴ τὸ διάφορον τοῦτο Ἑλληνικῷ στρατεύματι ἐγένετο, οἷς, ἀντὶ μὲν τοῦ ἄλλους δουλωσομένους ἥκειν, αὐτοὺς τοῦτο μᾶλλον δεδιότας μὴ πάθωσι ξυνέβη ἀπιέναι, ἀντὶ δ' εὐχῆς τε καὶ παιάνων, μεθ' ὧν ἐξέπλεον, πάλιν τούτων τοῖς ἐναντίοις ἐπιφημίσμασιν ἀφορμᾶσθαι, πεζούς τε ἀντὶ ναυβατῶν πορευομένους καὶ ὁπλιτικῷ προσέχοντας μᾶλλον ἢ ναυτικῷ. Ὅμως δὲ ὑπὸ μεγέθους τοῦ ἐπικρεμαμένου ἔτι κινδύνου πάντα ταῦτα αὐτοῖς οἷστὰ ἐφαίνετο.

défiance : en effet, la désertion des esclaves, commencée depuis longtemps, était devenue générale. Les provisions qu'on emportait n'étaient pas même suffisantes, car il n'y avait plus de vivres dans le camp. Cette espèce d'allègement qu'on éprouve à partager ses souffrances avec beaucoup de compagnons n'adoucissait aucunement la situation présente, surtout lorsqu'on songeait à quel triste dénoûment venait aboutir tant d'ostentation et d'orgueil déployés au début. En effet, jamais armée grecque ne subit un plus cruel mécompte : ils étaient venus pour asservir les autres, et ils s'en allaient avec la crainte d'être eux-mêmes asservis; aux vœux et aux péans du départ succédaient des cris du plus funeste augure; partis sur des vaisseaux, ils s'en retournaient à pied, et aux fonctions de marins s'étaient substituées celles d'hoplites. Toutefois ces maux leur paraissaient encore supportables, en comparaison des périls qui les menaçaient.

οἱ μὲν ἀπορίᾳ ἀκολούθων,
οἱ δὲ ἀπιστίᾳ·
ἀπηυτομολήκεσαν γὰρ
πάλαι τε
καὶ οἱ πλεῖστοι παραχρῆμα.
Καὶ μὴν
ἡ ἄλλη αἰκία
καὶ ἡ ἰσομοιρία
τῶν κακῶν,
ἔχουσα ὅμως
τινὰ κούφισιν
τὸ μετὰ πολλῶν
οὐδὲ ἐδοξάζετο ὡς
ἐν τῷ παρόντι
ῥᾳδία,
ἄλλως τε καὶ
ἀπὸ οἵας λαμπρότητος
καὶ αὐχήματος
τοῦ πρώτου
ἐς οἵαν τελευτὴν
καὶ ταπεινότητα
ἀφίκατο.
Τοῦτο γὰρ δὴ τὸ διάφορον
ἐγένετο μέγιστον
στρατεύματι Ἑλληνικῷ,
οἷς, ἀντὶ μὲν
τοῦ ἥκειν
δουλωσομένους ἄλλους
ξυνέβη ἀπιέναι
δεδιότας αὐτοὺς μᾶλλον τοῦτο,
ἀντὶ δὲ
εὐχῆς τε καὶ παιάνων
μετὰ ὧν ἐξέπλεον,
ἀφορμᾶσθαι πάλιν
ἐπιφημίσμασιν
ἐναντίοις τούτων,
πορευομένους τε πεζοὺς
ἀντὶ ναυβατῶν
καὶ προσέχοντας μᾶλλον
τῷ ὁπλιτικῷ
ἢ ναυτικῷ.
Ὅμως δὲ
ὑπὸ μεγέθους
τοῦ κινδύνου ἔτι ἐπικρεμαμένου
πάντα ταῦτα
ἐφαίνετο αὐτοῖς οἰστά.

les uns par manque de serviteurs,
les autres par défiance ;
car ils avaient déserté
et depuis-longtemps,
et la plupart en-cet-instant-même.
Et certes
le reste de la souffrance
et le partage-égal
des maux,
qui a pourtant
comme un certain allègement
le *être partagé* avec beaucoup
ne paraissait pas-même ainsi
dans le présent
facile *à supporter*, [*déraient*
et d'ailleurs aussi *quand ils consi-*
de quelle splendeur
et *de quelle* jactance
je parle de la précédente
à quelle fin
et à *quelle* humiliation
ils étaient arrivés. [*tune*
Car certes ce changement *de for-*
était arrivé le plus grand
à une armée grecque,
eux à qui, au-lieu-d'une part
du être venus
devant asservir d'autres *peuples*,
il était arrivé de partir
craignant eux-mêmes plutôt cela,
au-lieu-d'autre part [*péan*
et des vœux et des chants-du-
avec lesquels ils s'embarquaient,
de s'éloigner en-sens-contraire
avec des présages
contraires à ceux-là,
et marchant piétons
au-lieu-de marins,
et s'appliquant plutôt
à la *tactique* des-hoplites
qu'à la nautique.
Mais pourtant
par-suite-de la grandeur
du péril encore suspendu-sur *eux*
toutes ces choses
paraissaient à eux supportables.

XXII. DÉSASTRE FINAL DE L'EXPÉDITION.

(Liv. VII, §§ 80-87.)

LXXX. Τῆς δὲ νυκτὸς τῷ Νικίᾳ καὶ Δημοσθένει ἐδόκει, ἐπειδὴ κακῶς σφίσι τὸ στράτευμα εἶχε τῶν [τε] ἐπιτηδείων πάντων ἀπορίᾳ ἤδη καὶ κατατετραυματισμένοι ἦσαν πολλοὶ ἐν πολλαῖς προσβολαῖς τῶν πολεμίων γεγενημέναις, πυρὰ καύσαντας[1] ὡς πλεῖστα ἀπάγειν τὴν στρατιάν, μηκέτι τὴν αὐτὴν ὁδὸν ᾗ διενοήθησαν, ἀλλὰ τοὐναντίον ἢ οἱ Συρακόσιοι ἐτήρουν[2] πρὸς τὴν θάλασσαν· ἦν δὲ ἡ ξύμπασα ὁδὸς αὕτη οὐκ ἐπὶ Κατάνης τῷ στρατεύματι, ἀλλὰ κατὰ τὸ ἕτερον μέρος τῆς Σικελίας τὸ πρὸς Καμάριναν καὶ Γέλαν καὶ τὰς ταύτῃ πόλεις καὶ Ἑλληνίδας καὶ βαρβάρους. Καύσαντες οὖν πυρὰ πολλὰ ἐχώρουν ἐν τῇ νυκτί. Καὶ αὐτοῖς, οἷον φιλεῖ καὶ πᾶσι στρατοπέδοις, μάλιστα δὲ τοῖς μεγίστοις, φόβοι καὶ δείματα ἐγγίγνεσθαι, ἄλλως τε καὶ ἐν νυκτί τε καὶ διὰ πολεμίας καὶ [ἀπὸ] πολεμίων οὐ πολὺ ἀπεχόντων ἰοῦσιν, ἐμπίπτει ταραχή· καὶ τὸ μὲν Νικίου στράτευμα, ὥσπερ

XXII

LXXX. La nuit suivante, Nicias et Démosthène, voyant le fâcheux état de l'armée, le manque absolu de subsistances et le grand nombre de blessés, prirent le parti d'allumer autant de feux que possible, et d'exécuter leur retraite, non plus dans la direction projetée, mais en sens contraire aux positions gardées par les Syracusains, c'est-à-dire vers la mer. Cette dernière route ne conduisait plus l'armée à Catane, mais dans la partie opposée de la Sicile, vers Camarine, Géla et les autres villes, grecques ou barbares de ces parages. Ils allumèrent donc une multitude de feux, et partirent la nuit; mais ils tombèrent dans la confusion, résultat ordinaire des terreurs paniques auxquelles sont sujets tous les grands corps d'armée dans les marches nocturnes exécutées à travers un pays hostile et à proximité de l'ennemi. La

XXII. DÉSASTRE FINAL DE L'EXPÉDITION.

LXXX. Τῆς δὲ νυκτὸς
ἐδόκει
τῷ Νικίᾳ καὶ Δημοσθένει,
ἐπειδὴ τὸ στράτευμα
εἶχε σφίσι κακῶς
ἀπορίᾳ τε ἤδη
πάντων τῶν ἐπιτηδείων
καὶ πολλοὶ
ἦσαν κατατετραυματισμένοι
πολλαῖς προσβολαῖς
τῶν πολεμίων
γεγενημέναις,
καύσαντας πυρὰ
ὡς πλεῖστα
ἀπάγειν τὴν στρατιάν,
μηκέτι τὴν αὐτὴν ὁδὸν
ᾗ διενοήθησαν,
ἀλλὰ τὸ ἐναντίον
ᾗ οἱ Συρακόσιοι
ἐτήρουν,
πρὸς τὴν θάλασσαν·
Αὕτη δὲ ἡ ὁδὸς
ξύμπασα
ἦν τῷ στρατεύματι
οὐκ ἐπὶ Κατάνης,
ἀλλὰ κατὰ τὸ ἕτερον μέρος
τῆς Σικελίας
τὸ πρὸς Καμάριναν καὶ Γέλαν
καὶ τὰς πόλεις ταύτη
καὶ Ἑλληνίδας καὶ βαρβάρους.
Καύσαντες οὖν
πολλὰ πυρὰ
ἐχώρουν ἐν τῇ νυκτί.
Καὶ ταραχὴ ἐμπίπτει αὐτοῖς,
οἷον φόβοι καὶ δείματα
φιλεῖ ἐγγίγνεσθαι
καὶ πᾶσι στρατοπέδοις,
μάλιστα δὲ τοῖς μεγίστοις,
ἄλλως τε καὶ ἰοῦσιν
ἐν νυκτί τε
καὶ διὰ πολεμίας
καὶ ἀπὸ πολεμίων
οὐκ ἀπεχόντων πολύ·
καὶ τὸ μὲν στράτευμα

LXXX. Or la nuit
il paraissait-bon
à Nicias et à Démosthène,
comme l'armée
était à eux dans-un-mauvais-état
et par le manque dès-lors
de toutes les choses nécessaires
et *que* beaucoup
avaient été couverts-de-blessures
par beaucoup d'attaques
des ennemis
ayant-eu-lieu,
ayant allumé des feux
aussi nombreux que *possible*
d'emmener l'armée,
non-plus par la même route,
par laquelle ils avaient songé,
mais par la *direction* contraire
que (de celle que) les Syracusains
gardaient,
vers la mer ;
or cette route
dans-l'ensemble
était pour l'armée
non vers Catane,
mais vers l'autre partie
de la Sicile,
celle vers Camarine et Géla
et les villes par-là
et grecques et barbares.
Ayant allumé donc
beaucoup de feux
ils marchaient dans la nuit.
Et le trouble tombe-sur eux,
comme peurs et craintes
ont-coutume de naître
et dans toutes les armées,
et surtout les plus grandes
et autrement et marchant
et dans la nuit
et à travers un *territoire* ennemi
et *s'éloignant* d'ennemis
non distants beaucoup ;
et d'une part l'armée

ἡγεῖτο, ξυνέμενέ τε καὶ προύλαβε πολλῷ, τὸ δὲ Δημοσθένους, τὸ ἥμισυ μάλιστα καὶ πλέον, ἀπεσπάσθη τε καὶ ἀτακτότερον ἐχώρει. Ἅμα δὲ τῇ ἕῳ ἀφικνοῦνται ὅμως πρὸς τὴν θάλασσαν, καὶ ἐσβάντες ἐς τὴν ὁδὸν τὴν Ἑλωρίνην καλουμένην ἐπορεύοντο, ὅπως, ἐπειδὴ γένοιντο ἐπὶ τῷ ποταμῷ τῷ Κακυπάρει[1] παρὰ τὸν ποταμὸν ἴοιεν ἄνω διὰ μεσογείας· ἤλπιζον γὰρ καὶ τοὺς Σικελοὺς ταύτῃ οὓς μετεπέμψαντο ἀπαντήσεσθαι. Ἐπειδὴ δ' ἐγένοντο ἐπὶ τῷ ποταμῷ, ἠῦρον καὶ ἐνταῦθα φυλακήν τινα τῶν Συρακοσίων ἀποτειχίζουσάν τε καὶ ἀποσταυροῦσαν τὸν πόρον. Καὶ βιασάμενοι αὐτὴν διέβησάν τε τὸν ποταμὸν καὶ ἐχώρουν αὖθις πρὸς ἄλλον ποταμὸν, τὸν Ἐρινεόν· ταύτῃ γὰρ οἱ ἡγεμόνες ἐκέλευον.

LXXXI. Ἐν τούτῳ δ' οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι, ὡς ἥ τε ἡμέρα ἐγένετο καὶ ἔγνωσαν τοὺς Ἀθηναίους ἀπεληλυθότας, ἐν αἰτίᾳ τε οἱ πολλοὶ τὸν Γύλιππον εἶχον ἐκόντα ἀφεῖναι τοὺς Ἀθηναίους, καὶ κατὰ τάχος διώκοντες ἦ οὐ

division de Nicias, qui était la première, conserva ses rangs et prit beaucoup d'avance; mais celle de Démosthène, qui formait plus de la moitié de l'armée, se rompit et chemina en désordre. Cependant, à la pointe du jour, ils arrivèrent au bord de la mer; ils prirent la route d'Éloros et gagnèrent du terrain. Leur intention était, une fois au bord du Cacyparis, d'en remonter le cours dans l'intérieur des terres. Ils espéraient ainsi rencontrer les Sicules qu'ils avaient mandés. Parvenus à ce courant d'eau, ils trouvèrent un détachement syracusain occupé à retrancher et à palissader le passage. L'ennemi culbuté, ils passèrent outre, en se dirigeant vers une autre rivière nommée Érinéos. C'était l'itinéraire que leur traçaient leurs guides.

LXXXI. Dès qu'il fit jour et que les Syracusains et leurs alliés se furent aperçus de la disparition des Athéniens, ils accusèrent pour la plupart Gylippe de les avoir volontairement laissés échapper. Ils n'eurent pas de peine à reconnaître la route qu'ils avaient

Νικίου,
ὥσπερ ἡγεῖτο,
ξυνέμενέ τε
καὶ προύλαβε πολλῷ,
τὸ δὲ Δημοσθένους,
τὸ ἥμισυ μάλιστα
καὶ πλέον,
ἀπεσπάσθη τε
καὶ ἐχώρει ἀτακτότερον.
Ἅμα δὲ τῇ ἕῳ
ἀφικνοῦνται ὅμως
πρὸς τὴν θάλασσαν,
καὶ εἰσβάντες ἐς τὴν ὁδὸν
τὴν καλουμένην Ἑλωρίνην
ἐπορεύοντο,
ὅπως, ἐπειδὴ γένοιντο
ἐπὶ τῷ ποτάμῳ
τῷ Κακυπάρει
ἴοιεν παρὰ τὸν ποταμὸν
ἄνω
διὰ μεσογείας·
ἤλπιζον γὰρ
καὶ τοὺς Σικελοὺς
οὓς μετεπέμψαντο
ἀπαντήσεσθαι ταύτῃ.
Ἐπειδὴ δὲ ἐγένοντο
ἐπὶ τῷ ποταμῷ,
ηὗρον καὶ ἐνταῦθά
τινα φυλακὴν
τῶν Συρακοσίων
ἀποτειχίζουσάν τε
καὶ ἀποσταυροῦσαν τὸν πόρον.
Καὶ βιασάμενοι αὐτὴν
διέβησάν τε τὸν ποταμὸν
καὶ ἐχώρουν αὖθις
πρὸς ἄλλον ποταμόν,
τὸν Ἐρίνεον·
οἱ γὰρ ἡγεμόνες
ἐκέλευον ταύτῃ.

LXXXI. Ἐν δὲ τούτῳ
οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι,
ὡς ἥ τε ἡμέρα ἐγένετο
καὶ ἔγνωσαν τοὺς Ἀθηναίους
ἀπεληλυθότας,
οἵ τε πολλοὶ
εἶχον τὸν Γύλιππον
ἐν αἰτίᾳ
ἀφεῖναι ἑκόντα
τοὺς Ἀθηναίους,
καὶ διώκοντες κατὰ τάχος

de Nicias,
comme elle précédait,
et restait-compacte [coup,
et prenait-de-l'avance de beau-
d'autre part celle de Démosthène
la moitié environ
et *même* plus *de toute l'armée*,
et fut séparée
et marchait plus en-désordre.
D'autre part avec l'aurore
ils arrivent pourtant
vers la mer,
et étant entrés dans la route
celle appelée d'-Eloros,
ils s'avançaient,
afin que, après-qu'ils seraient
sur le fleuve
le Cacyparis
ils marchassent le-long-du fleuve
en-haut (en s'élevant)
à travers le milieu-des-terres ;
car ils espéraient
aussi les Siciles
